Διότι, ἐὰν ἡ ΑΒ εἶναι ἄνισος πρὸς τὴν ΔΕ, ἡ μία ἐξ αὐτῶν θὰ εἶναι μεγαλυτέρα. Ἔστω ἡ ΑΒ μεγαλυτέρα καὶ ἂς ληφθῇ ἡ ΒΗ ἴση πρὸς τὴν ΔΕ καὶ ἂς ἀχθῇ ἡ ΗΓ.

Ἐπειδὴ λοιπὸν ἡ μὲν ΒΗ εἶναι ἴση πρὸς τὴν ΔΕ, ἡ δὲ ΒΓ πρὸς τὴν ΕΖ, αἱ δύο πλευραὶ ΒΗ, ΒΓ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο ΔΕ, ΕΖ· καὶ ἡ γωνία ΗΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΕΖ· ἄρα ἡ βάσις ΗΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ καὶ τὸ τρίγωνον ΗΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΕΖ, καὶ αἱ λοιπαὶ γωνίαι θὰ εἶναι ἴσαι πρὸς τὰς λοιπάς, αἱ ὁποῖαι κεῖνται ἀπέναντι τῶν ἴσων πλευρῶν (θεώρ. 4)· ἄρα ἡ γωνία ΗΓΒ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΖΕ. Ἀλλὰ ἡ γωνία ΔΖΕ εἶναι ἴση πρὸς τὴν ΒΓΑ ἐξ ὑποθέσεως· ἄρα καὶ ἡ γωνία ΒΓΗ εἶναι ἴση πρὸς τὴν ΒΓΑ (κ. ἔν. 1), ἡ μικροτέρα ἴση πρὸς τὴν μεγαλυτέραν (κ. ἔν. 8)· ὅπερ ἀδύνατον. Ἄρα ἡ ΑΒ δὲν εἶναι ἄνισος πρὸς τὴν ΔΕ. Ἄρα εἶναι ἴση. Εἶναι δὲ καὶ ἡ ΒΓ ἴση πρὸς τὴν ΕΖ· δύο λοιπὸν πλευραὶ αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι ἀντιστοίχως πρὸς τὰς δύο πλευρὰς ΔΕ, ΕΖ· καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΕΖ· ἄρα ἡ βάσις ΑΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ, καὶ ἡ λοιπὴ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν λοιπὴν γωνίαν τὴν ΕΔΖ (θεώρ. 4).

Ἀλλὰ πάλιν ἔστωσαν αἱ κείμεναι ἀπέναντι τῶν ἴσων γωνιῶν πλευραὶ ἴσαι ὅπως ἡ ΑΒ ἴση πρὸς τὴν ΔΕ· λέγω πάλιν, ὅτι καὶ αἱ ἄλλαι πλευραὶ θὰ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς ἄλλας, ἡ μὲν ΑΓ πρὸς τὴν ΔΖ, ἡ δὲ ΒΓ πρὸς τὴν ΕΖ καὶ ἡ λοιπὴ γωνία ἡ ΒΑΓ ἴση πρὸς τὴν λοιπὴν γωνίαν τὴν ΕΔΖ.

Διότι, ἐὰν ἡ ΒΓ εἶναι ἄνισος πρὸς τὴν ΕΖ, ἡ μία ἐξ αὐτῶν θὰ εἶναι μεγαλυτέρα. Ἔστω, εἰ δυνατόν, ὅτι μεγαλυτέρα εἶναι ἡ ΒΓ, καὶ ἂς ληφθῇ ἡ ΒΘ ἴση πρὸς τὴν ΕΖ, καὶ ἂς ἀχθῇ ἡ ΑΘ. Καὶ ἐπειδὴ ἡ μὲν ΒΘ εἶναι ἴση πρὸς τὴν ΕΖ ἡ δὲ ΑΒ πρὸς τὴν ΔΕ, αἱ δύο πλευραὶ ΑΒ, ΒΘ εἶναι ἴσαι πρὸς ἄλλας δύο ἀντιστοίχως τὰς ΔΕ, ΕΖ· καὶ περιέχουν αὗται γωνίας ἴσας· ἄρα ἡ βάσις ΑΘ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ, καὶ τὸ τρίγωνον ΑΒΘ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΕΖ

καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΘΑ γωνία τῇ ὑπὸ ΕΖΔ. ἀλλὰ ἡ ὑπὸ ΕΖΔ τῇ ὑπὸ ΒΓΑ ἐστιν ἴση. τριγώνου δὴ τοῦ ΑΘΓ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΘΑ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΒΓΑ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΒΓ τῇ ΕΖ· ἴση ἄρα. ἐστὶ δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση. δύο δὴ αἱ ΑΒ, ΒΓ δύο ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση.


Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις, ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

κζ'.

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι.

Εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΕΖ τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΕΖ, ΕΖΔ ἴσας ἀλλήλαις ποιείτω· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ ΑΒ, ΓΔ συμπεσοῦνται ἤτοι ἐπὶ τὰ Β, Δ μέρη ἢ ἐπὶ τὰ Α, Γ. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν ἐπὶ τὰ Β, Δ μέρη κατὰ τὸ Η. τριγώνου δὴ τοῦ ΗΕΖ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΕΖ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΖΗ·



ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα αἱ ΑΒ, ΓΔ ἐκβαλλόμεναι συμπεσοῦνται ἐπὶ τὰ Β, Δ μέρη. Ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ἐπὶ τὰ Α, Γ· αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη συμπίπτουσαι παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

κη'.

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας, παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι.

Εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΕΖ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ τῇ ἐντὸς καὶ ἀπεναντίον γωνίᾳ τῇ ὑπὸ ΗΘΔ ἴσην ποιείτω ἢ

καὶ συνεπῶς αἱ λοιπαὶ γωνίαι θὰ εἶναι ἴσαι πρὸς τὰς λοιπὰς γωνίας, ἐκεῖναι ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ἴσαι πλευραί· ἄρα ἡ γωνία ΒΘΑ εἶναι ἴση πρὸς τὴν ΕΖΔ. Ἀλλὰ ἡ ΕΖΔ εἶναι ἴση πρὸς ΒΓΑ· ἤτοι τοῦ τριγώνου ΑΘΓ ἡ ἐξωτερικὴ γωνία ΒΘΑ εἶναι ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι, τὴν ΒΓΑ· ὅπερ ἀδύνατον (θεώρ. 16). Ἄρα δὲν εἶναι ἄνισος ἡ ΒΓ πρὸς τὴν ΕΖ· ἄρα εἶναι ἴση. Εἶναι δὲ καὶ ἡ ΑΒ ἴση πρὸς τὴν ΔΕ. Ὑπάρχουν δὲ δύο πλευραὶ αἱ ΑΒ, ΒΓ ἀντιστοίχως ἴσαι πρὸς τὰς ΔΕ, ΕΖ· καὶ περιέχουν γωνίας ἴσας· ἄρα ἡ βάσις ΑΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ, καὶ τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΕΖ καὶ ἡ λοιπὴ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν λοιπὴν γωνίαν ΕΔΖ.

Ἐὰν ἄρα δύο τρίγωνα ἔχουν δύο γωνίας ἴσας ἀντιστοίχως καὶ μίαν πλευρὰν ἴσην, ἤτοι τὴν πλευρὰν εἰς τὴν ὁποίαν πρόσκεινται αἱ ἴσαι γωνίαι, ἢ μίαν πλευρὰν ἴσην κειμένην ἀπέναντι τῆς μιᾶς τῶν ἴσων γωνιῶν, τὰ τρίγωνα ταῦτα θὰ ἔχουν καὶ τὰς ἄλλας πλευρὰς ἴσας ἀντιστοίχως καὶ τὴν λοιπὴν γωνίαν ἴσην πρὸς τὴν λοιπὴν γωνίαν· ὅπερ ἔδει δεῖξαι.

27.

Ἐὰν δύο εὐθεῖαι τέμνωνται ὑπὸ εὐθείας, ὥστε αἱ ἐναλλὰξ γωνίαι νὰ γίνωνται ἴσαι πρὸς ἀλλήλας, αἱ δύο εὐθεῖαι εἶναι παράλληλοι πρὸς ἀλλήλας.

Διότι, ἂς τέμνωνται αἱ εὐθεῖαι ΑΒ, ΓΔ ὑπὸ τῆς εὐθείας ΕΖ καὶ ἂς γίνωνται αἱ ἐναλλὰξ γωνίαι ΑΕΖ, ΕΖΔ ἴσαι πρὸς ἀλλήλας· λέγω, ὅτι ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Διότι, ἐὰν δὲν εἶναι, προεκβαλλόμεναι αἱ ΑΒ, ΓΔ θὰ συμπέσουν ἢ πρὸς τὸ μέρος τῶν Β, Δ ἢ πρὸς τὸ μέρος τῶν Α, Γ. Ἂς προεκβληθοῦν καὶ ἂς συμπέσουν πρὸς τὸ μέρος τῶν Β, Δ εἰς τὸ σημεῖον Η. Τότε, τοῦ τριγώνου ΗΕΖ ἡ ἐξωτερικὴ γωνία ΑΕΖ εἶναι ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι τὴν ΕΖΗ· ὅπερ ἀδύνατον (θεώρ. 16)· ἄρα αἱ ΑΒ, ΓΔ προεκβαλλόμεναι δὲν θὰ συμπέσουν πρὸς τὸ μέρος τῶν Β, Δ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι δὲν θὰ συμπέσουν οὐδὲ πρὸς τὸ μέρος τῶν Α, Γ· αἱ εὐθεῖαι ὅμως αἱ ὁποῖαι δὲν συμπίπτουν πρὸς κανὲν μέρος εἶναι παράλληλοι· ἄρα ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωνται ὑπὸ εὐθείας, ὥστε αἱ ἐναλλὰξ γωνίαι νὰ γίνωνται ἴσαι πρὸς ἀλλήλας, αἱ εὐθεῖαι εἶναι παράλληλοι πρὸς ἀλλήλας· ὅπερ ἔδει δεῖξαι.


28.

Ἐὰν δύο εὐθεῖαι τέμνωνται ὑπὸ εὐθείας, ὥστε ἡ ἐκτὸς γωνία νὰ γίνεται ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἢ αἱ ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίαι νὰ γίνωνται ἴσαι πρὸς δύο ὀρθάς, αἱ εὐθεῖαι θὰ εἶναι πρὸς ἀλλήλας παράλληλοι.

Διότι ἂς τέμνωνται αἱ εὐθεῖαι ΑΒ, ΓΔ ὑπὸ τῆς εὐθείας ΕΖ καὶ ἂς γίνεται ἡ ἐκτὸς γωνία ΕΗΒ ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι (καὶ πρὸς τὰ αὐτὰ μέρη)

τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσας· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΗΘΔ, ἀλλὰ ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΑΗΘ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΑΗΘ ἄρα τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση· καί εἰσιν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.



Πάλιν, ἐπεὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ δύο ὀρθαῖς ἴσαι εἰσίν, εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι, αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΒΗΘ· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΘ λοιπῇ τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση· καί εἰσιν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας, παράλληλοι ἔσονται αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

κθ΄.

Ἡ εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας.

Εἰς γὰρ παραλλήλους εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπιπτέτω ἡ ΕΖ· λέγω, ὅτι τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΗΘ, ΗΘΔ ἴσας ποιεῖ καὶ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΗΘΔ ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσας.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΗΘ· κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ μείζονές εἰσιν. ἀλλὰ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. [καὶ] αἱ ἄρα ὑπὸ ΒΗΘ, ΗΘΔ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπ' ἐλασσόνων ἢ δύο ὀρθῶν ἐκβαλλόμεναι εἰς ἄπειρον συμπίπτουσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἐκβαλλόμεναι εἰς ἄπειρον συμπεσοῦνται· οὐ συμπίπτουσι δὲ διὰ τὸ παραλλήλους αὐτὰς ὑποκεῖσθαι· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ· ἴση ἄρα. ἀλλὰ ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΕΗΒ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΕΗΒ ἄρα τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση. κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΕΗΒ, ΒΗΘ ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν· ἀλλὰ αἱ ὑπὸ ΕΗΒ, ΒΗΘ δύο ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ ἄρα δύο ὀρθαῖς ἴσαι εἰσίν.

Ἡ ἄρα εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ

τὴν ΗΘΔ ἢ ἂς γίνωνται ἴσαι πρὸς δύο ὀρθὰς αἱ ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίαι ΒΗΘ, ΗΘΔ· λέγω, ὅτι ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Διότι, ἐπειδὴ ἡ γωνία ΕΗΒ εἶναι ἴση πρὸς τὴν ΗΘΔ, ἀλλὰ ἡ ΕΗΒ εἶναι ἴση πρὸς τὴν ΑΗΘ (θεώρ. 15), ἕπεται, ὅτι καὶ ἡ ΑΗΘ εἶναι ἴση πρὸς τὴν ΗΘΔ (κ. ἔν. 1)· αὗται ὅμως εἶναι ἐναλλάξ· ἄρα ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Πάλιν, ἐπειδὴ αἱ γωνίαι ΒΗΘ, ΗΘΔ εἶναι ἴσαι πρὸς δύο ὀρθάς, ἐπίσης δὲ καὶ αἱ γωνίαι ΑΗΘ, ΒΗΘ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 13), ἕπεται, ὅτι αἱ γωνίαι ΑΗΘ, ΒΗΘ εἶναι ἴσαι πρὸς τὰς γωνίας ΒΗΘ, ΗΘΔ (κ. ἔν. 1)· ἂς ἀφαιρεθῇ ἡ κοινὴ γωνία ΒΗΘ· ἄρα ἡ λοιπὴ ΑΗΘ εἶναι ἴση πρὸς τὴν λοιπὴν τὴν ΗΘΔ (κ. ἔν. 3)· αὗται ὅμως εἶναι ἐναλλάξ· ἄρα ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ (θεώρ. 27).

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωνται ὑπὸ εὐθείας ὥστε ἡ ἐκτὸς γωνία νὰ γίνεται ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἢ αἱ ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίαι νὰ γίνωνται ἴσαι πρὸς δύο ὀρθάς, αἱ εὐθεῖαι θὰ εἶναι πρὸς ἀλλήλας παράλληλοι· ὅπερ ἔδει δεῖξαι.

29.

Ἡ εὐθεῖα ἡ ὁποία τέμνει παραλλήλους εὐθείας σχηματίζει καὶ τὰς ἐναλλὰξ γωνίας ἴσας πρὸς ἀλλήλας καὶ τὴν ἐκτὸς γωνίαν ἴσην πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσας πρὸς δύο ὀρθάς.

Διότι, ἂς τμήσῃ ἡ εὐθεῖα ΕΖ τὰς παραλλήλους εὐθείας ΑΒ, ΓΔ· λέγω, ὅτι αὕτη σχηματίζει τὰς ἐναλλὰξ γωνίας τὰς ΑΗΘ, ΗΘΔ ἴσας καὶ τὴν ἐκτὸς γωνίαν ΕΗΒ ἴσην πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι ΗΘΔ καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας ΒΗΘ, ΗΘΔ ἴσας πρὸς δύο ὀρθάς.

Διότι, ἐὰν ἡ γωνία ΑΗΘ εἶναι ἄνισος πρὸς τὴν ΗΘΔ, τότε μία ἐξ αὐτῶν θὰ εἶναι μεγαλυτέρα. Ἔστω, ὅτι μεγαλυτέρα εἶναι ἡ ΑΗΘ· ἂς προστεθῇ εἰς ἑκάστην ἐκ τούτων ἡ γωνία ΒΗΘ· ἄρα αἱ ΑΗΘ, ΒΗΘ εἶναι μεγαλύτεραι τῶν ΒΗΘ, ΗΘΔ (κ. ἔν. 2). Ἀλλὰ αἱ γωνίαι ΑΗΘ, ΒΗΘ ἰσοῦνται πρὸς δύο ὀρθάς (θεώρ. 13).

Ἄρα αἱ γωνίαι ΒΗΘ, ΗΘΔ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν. Αἱ εὐθεῖαι δὲ αἱ σχηματίζουσαι γωνίας μικροτέρας τῶν δύο ὀρθῶν, ὅταν προεκβληθοῦν εἰς τὸ ἄπειρον συμπίπτουν (αἴτ. 5)· ἄρα αἱ ΑΒ, ΓΔ ἐκβαλλόμεναι εἰς τὸ ἄπειρον θὰ συμπέσουν· ἀλλὰ δὲν συμπίπτουν, διότι ἐλήφθησαν παράλληλοι· ἄρα ἡ γωνία ΑΗΘ δὲν εἶναι ἄνισος πρὸς τὴν ΗΘΔ· ἄρα εἶναι ἴση. Ἀλλὰ ἡ ΑΗΘ εἶναι ἴση πρὸς τὴν ΕΗΒ (θεώρ. 15)· ἄρα καὶ ἡ ΕΗΒ εἶναι ἴση πρὸς τὴν ΗΘΔ (κ. ἔν. 1). Ἂς προστεθῇ εἰς ἑκάστην τούτων ἡ κοινὴ ΒΗΘ· ἄρα αἱ ΕΗΒ, ΒΗΘ εἶναι ἴσαι πρὸς τὰς ΒΗΘ, ΗΘΔ (κ. ἔν. 2). Ἀλλὰ αἱ ΕΗΒ, ΒΗΘ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 13)· ἄρα καὶ αἱ ΒΗΘ, ΗΘΔ εἶναι ἴσαι πρὸς δύο ὀρθάς.


Ἄρα, ὅταν εὐθεῖα τέμνῃ παραλλήλους εὐθείας, σχηματίζει καὶ τὰς ἐναλλὰξ

γωνίας ἴσας ἀλλήλαις ποιεῖ καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας· ὅπερ ἔδει δεῖξαι.

λ΄.

Αἱ τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.

Ἔστω ἑκατέρα τῶν ΑΒ, ΓΔ τῇ ΕΖ παράλληλος. λέγω, ὅτι καὶ ἡ ΑΒ τῇ ΓΔ ἐστι παράλληλος.



Ἐμπιπτέτω γὰρ εἰς αὐτὰς εὐθεῖα ἡ ΗΚ.

Καὶ ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΑΒ, ΕΖ εὐθεῖα ἐμπέπτωκεν ἡ ΗΚ, ἴση ἄρα ἡ ὑπὸ ΑΗΚ τῇ ὑπὸ ΗΘΖ. πάλιν, ἐπεὶ εἰς παραλλήλους εὐθείας τὰς ΕΖ, ΓΔ εὐθεῖα ἐμπέπτωκεν ἡ ΗΚ, ἴση ἐστὶν ἡ ὑπὸ ΗΘΖ τῇ ὑπὸ ΗΚΔ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΗΚ τῇ ὑπὸ ΗΘΖ ἴση. καὶ ἡ ὑπὸ ΑΗΚ ἄρα τῇ ὑπὸ ΗΚΔ ἐστιν ἴση· καί εἰσιν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.


[Αἱ ἄρα τῇ αὐτῇ εὐθείᾳ παράλληλοι καὶ ἀλλήλαις εἰσὶ παράλληλοι·] ὅπερ ἔδει δεῖξαι.

λα΄.

Διὰ τοῦ δοθέντος σημείου τῇ δοθείσῃ εὐθείᾳ παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ ΒΓ· δεῖ δὴ διὰ τοῦ Α σημείου τῇ ΒΓ εὐθείᾳ παράλληλον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Εἰλήφθω ἐπὶ τῆς ΒΓ τυχὸν σημεῖον τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΔ· καὶ συνεστάτω πρὸς τῇ ΔΑ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΑΔΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΔΑΕ. καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας τῇ ΕΑ εὐθεῖα ἡ ΑΖ.



Καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΒΓ, ΕΖ εὐθεῖα ἐμπίπτουσα ἡ ΑΔ τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΕΑΔ, ΑΔΓ ἴσας ἀλλήλαις πεποίηκεν, παράλληλος ἄρα ἐστὶν ἡ ΕΑΖ τῇ ΒΓ.

Διὰ τοῦ δοθέντος ἄρα σημείου τοῦ Α τῇ δοθείσῃ εὐθείᾳ τῇ ΒΓ παράλληλος εὐθεῖα γραμμὴ ἦκται ἡ ΕΑΖ· ὅπερ ἔδει ποιῆσαι.

λβ΄.

Παντὸς τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστίν, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ ΒΓ

γωνίας ἴσας καὶ τὴν ἐκτὸς ἴσην πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσας πρὸς δύο ὀρθάς· ὅπερ ἔδει δεῖξαι.

30.

Αἱ πρὸς τὴν αὐτὴν εὐθεῖαν παράλληλοι εἶναι καὶ πρὸς ἀλλήλας παράλληλοι.

Ἔστω ἑκάστη τῶν ΑΒ, ΓΔ παράλληλος πρὸς τὴν ΕΖ· λέγω, ὅτι καὶ ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ.

Διότι, ἂς τμήσῃ αὐτὰς ἡ ΗΚ.

Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΗΚ τέμνει τὰς παραλλήλους ΑΒ, ΕΖ, ἡ γωνία ΑΗΚ εἶναι ἴση πρὸς τὴν ΗΘΖ (θεώρ. 29). Πάλιν, ἐπειδὴ ἡ εὐθεῖα ΗΚ τέμνει τὰς παραλλήλους ΕΖ, ΓΔ, ἡ γωνία ΗΘΖ εἶναι ἴση πρὸς τὴν ΗΚΔ (θεώρ. 29). Ἐδείχθη δὲ καὶ ἡ γωνία ΑΗΚ ἴση πρὸς τὴν ΗΘΖ. Ἄρα καὶ ἡ ΑΗΚ εἶναι ἴση πρὸς τὴν ΗΚΔ (κ. ἔν. 1)· καὶ εἶναι αὗται ἐναλλάξ. Ἄρα ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ (θεώρ. 27).

[Αἱ παράλληλοι ἄρα πρὸς τὴν αὐτὴν εὐθεῖαν εἶναι καὶ πρὸς ἀλλήλας παράλληλοι·] ὅπερ ἔδει δεῖξαι.

31.

Διὰ δοθέντος σημείου, ν' ἀχθῇ εὐθεῖα παράλληλος πρὸς δοθεῖσαν εὐθεῖαν.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ ΒΓ· πρέπει διὰ τοῦ σημείου Α ν' ἀχθῇ εὐθεῖα γραμμὴ παράλληλος πρὸς τὴν εὐθεῖαν ΒΓ.

Ἂς ληφθῇ ἐπὶ τῆς ΒΓ τυχὸν σημεῖον τὸ Δ, καὶ ἂς ἀχθῇ ἡ ΑΔ· καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΔΑ καὶ ἐκ τοῦ ἐπ' αὐτῆς σημείου Α ἡ γωνία ΔΑΕ ἴση πρὸς τὴν ΑΔΓ (θεώρ. 23)· καὶ ἂς ληφθῇ ἐπὶ τῆς προεκβολῆς τῆς ΕΑ ἡ εὐθεῖα ΑΖ.

Καὶ ἐπειδὴ ἡ ΑΔ τέμνει τὰς δύο εὐθείας ΒΓ, ΕΖ καὶ σχηματίζει τὰς ἐναλλὰξ γωνίας ΕΑΔ, ΑΔΓ ἴσας, ἕπεται, ὅτι ἡ ΕΑΖ εἶναι παράλληλος πρὸς τὴν ΒΓ (θεώρ. 27).

Διὰ τοῦ δοθέντος ἄρα σημείου τοῦ Α ἤχθη εὐθεῖα παράλληλος πρὸς τὴν δοθεῖσαν εὐθεῖαν τὴν ΒΓ ἡ ΕΑΖ· ὅπερ ἔδει ποιῆσαι.

32.

Εἰς πᾶν τρίγωνον, ὅταν προεκβληθῇ ἡ μία πλευρά, ἡ ἐκτὸς γωνία εἶναι ἴση πρὸς τὰς δύο ἐντὸς καὶ ἀπέναντι γωνίας, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι εἶναι ἴσαι πρὸς δύο ὀρθάς.

Ἔστω τρίγωνον τὸ ΑΒΓ καὶ ἂς προεκβληθῇ ἡ μία πλευρὰ αὐτοῦ ἡ ΒΓ

ἐπὶ τὸ Δ· λέγω, ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ταῖς ὑπὸ ΓΑΒ, ΑΒΓ, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἤχθω γὰρ διὰ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ παράλληλος ἡ ΓΕ.

Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΑΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΕ ἴσαι ἀλλήλαις εἰσίν. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΕΓΔ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΒΓ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΑΓ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΓΔ γωνία ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ταῖς ὑπὸ ΒΑΓ, ΑΒΓ.


Κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τρισὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΑΓΒ, ΓΒΑ, ΓΑΒ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστίν, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἔδει δεῖξαι.

λγ΄.

Αἱ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Ἔστωσαν ἴσαι τε καὶ παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ ἐπιζευγνύτωσαν αὐτὰς ἐπὶ τὰ αὐτὰ μέρη εὐθεῖαι αἱ ΑΓ, ΒΔ· λέγω, ὅτι καὶ αἱ ΑΓ, ΒΔ ἴσαι τε καὶ παράλληλοί εἰσιν.



Ἐπεζεύχθω ἡ ΒΓ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσίν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δύο ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΔ ἐστιν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΓΒΔ. καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΑΓ, ΒΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΒΓ τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις πεποίηκεν, παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΒΔ. ἐδείχθη δὲ αὐτῇ καὶ ἴση.

Αἱ ἄρα τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν. ὅπερ ἔδει δεῖξαι.

μέχρι τοῦ σημείου Δ· λέγω, ὅτι ἡ ἐκτὸς γωνία ἡ ΑΓΔ εἶναι ἴση πρὸς τὰς δύο ἐντὸς καὶ ἀπέναντι γωνίας, τὰς ΓΑΒ, ΑΒΓ, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι, αἱ ΑΒΓ, ΒΓΑ, ΓΑΒ εἶναι ἴσαι πρὸς δύο ὀρθάς.

Διότι, ἂς ἀχθῇ διὰ τοῦ σημείου Γ ἡ ΓΕ παράλληλος πρὸς τὴν εὐθεῖαν ΑΒ.

Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΕ, καὶ αὗται τέμνονται ὑπὸ τῆς ΑΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ΒΑΓ, ΑΓΕ εἶναι ἴσαι πρὸς ἀλλήλας (θεώρ. 29). Πάλιν, ἐπειδὴ ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΕ καὶ τέμνονται αὗται ὑπὸ τῆς ΒΔ, ἡ ἐκτὸς γωνία ΕΓΔ εἶναι ἴση πρὸς τὴν ἐντὸς καὶ ἀπέναντι τὴν ΑΒΓ (θεώρ. 29). Ἐδείχθη δέ, ὅτι καὶ ἡ ΑΓΕ εἶναι ἴση πρὸς τὴν ΒΑΓ· ἄρα ὅλη ἡ ΑΓΔ γωνία εἶναι ἴση πρὸς τὰς δύο ἐντὸς καὶ ἀπέναντι, τὰς ΒΑΓ, ΑΒΓ (κ. ἔν. 2).

Ἂς προστεθῇ εἰς αὐτὰς ἡ κοινὴ ΑΓΒ· ἄρα αἱ γωνίαι ΑΓΔ, ΑΓΒ εἶναι ἴσαι πρὸς τὰς τρεῖς γωνίας ΑΒΓ, ΒΓΑ, ΓΑΒ (κ. ἔν. 2). Ἀλλὰ αἱ γωνίαι ΑΓΔ, ΑΓΒ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 13)· ἄρα καὶ αἱ ΑΓΒ, ΓΒΑ, ΓΑΒ εἶναι ἴσαι πρὸς δύο ὀρθάς.

Παντὸς ἄρα τριγώνου, ὅταν προεκβληθῇ ἡ μία πλευρά, ἡ ἐκτὸς γωνία εἶναι ἴση πρὸς τὰς δύο ἐντὸς καὶ ἀπέναντι, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι εἶναι ἴσαι πρὸς δύο ὀρθάς· ὅπερ ἔδει δεῖξαι.

33.

Αἱ εὐθεῖαι αἱ ἑνοῦσαι πρὸς τὰ αὐτὰ μέρη δύο εὐθείας ἴσας καὶ παραλλήλους εἶναι καὶ αὗται ἴσαι καὶ παράλληλοι.

Ἔστωσαν αἱ ἴσαι καὶ παράλληλοι εὐθεῖαι αἱ ΑΒ, ΓΔ καὶ ἂς ἑνώνουν αὐτὰς πρὸς τὰ αὐτὰ μέρη αἱ εὐθεῖαι ΑΓ, ΒΔ· λέγω, ὅτι καὶ αἱ ΑΓ, ΒΔ εἶναι ἴσαι καὶ παράλληλοι.


Ἂς ἀχθῇ ἡ ΒΓ. Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ καὶ τέμνονται αὗται ὑπὸ τῆς ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ΑΒΓ, ΒΓΔ εἶναι ἴσαι πρὸς ἀλλήλας (θεώρ. 29). Καὶ ἐπειδὴ ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ, ἡ δὲ ΒΓ εἶναι κοινή, δύο πλευραὶ αἱ ΑΒ, ΒΓ εἶναι ἴσαι πρὸς τὰς δύο τὰς ΒΓ, ΓΔ· καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΓΔ· ἄρα ἡ βάσις ΑΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΔ, καὶ τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΒΓΔ, καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ἑνὸς τριγώνου θὰ εἶναι ἴσαι πρὸς τὰς λοιπὰς γωνίας τοῦ ἄλλου ἀντιστοίχως, αἱ ἀπέναντι τῶν ἴσων πλευρῶν· ἄρα ἡ γωνία ΑΓΒ εἶναι ἴση πρὸς τὴν γωνίαν ΓΒΔ (θεώρ. 4). Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΒΓ τέμνουσα τὰς εὐθείας ΑΓ, ΒΔ σχηματίζει τὰς ἐναλλὰξ γωνίας ἴσας πρὸς ἀλλήλας, ἕπεται, ὅτι ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΒΔ· (θεώρ. 27). Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἴση πρὸς αὐτήν.

Ἄρα, αἱ εὐθεῖαι αἱ ἑνοῦσαι πρὸς τὰ αὐτὰ μέρη ἴσας καὶ παραλλήλους εὐθείας εἶναι καὶ αὗται ἴσαι καὶ παράλληλοι· ὅπερ ἔδει δεῖξαι.

λδ΄.

Τῶν παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει.

Ἔστω παραλληλόγραμμον χωρίον τὸ ΑΓΔΒ, διάμετρος δὲ αὐτοῦ ἡ ΒΓ· λέγω, ὅτι τοῦ ΑΓΔΒ παραλληλογράμμου αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ ἡ ΒΓ διάμετρος αὐτὸ δίχα τέμνει.



Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσίν. πάλιν ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΒΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΓΒ, ΓΒΔ ἴσαι ἀλλήλαις εἰσίν. δύο δὴ τρίγωνά ἐστι τὰ ΑΒΓ, ΒΓΔ τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΒΓΔ, ΓΒΔ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις κοινὴν αὐτῶν τὴν ΒΓ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΑΒ πλευρὰ τῇ ΓΔ, ἡ δὲ ΑΓ τῇ ΒΔ, καὶ ἔτι ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΓΔΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΑΓΒ, ὅλη ἄρα ἡ ὑπὸ ΑΒΔ ὅλῃ τῇ ὑπὸ ΑΓΔ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΒ ἴση.

Τῶν ἄρα παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.


Λέγω δή, ὅτι καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΓΔ, ΒΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση. καὶ βάσις ἄρα ἡ ΑΓ τῇ ΔΒ ἴση καὶ τὸ ΑΒΓ [ἄρα] τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν.

Ἡ ἄρα ΒΓ διάμετρος δίχα τέμνει τὸ ΑΒΓΔ παραλληλόγραμμον· ὅπερ ἔδει δεῖξαι.

λε΄.

Τὰ παραλληλόγραμμα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΒΓΖ ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΖ, ΒΓ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ τῷ ΕΒΓΖ παραλληλογράμμῳ.



Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, ἴση ἐστὶν ἡ ΑΔ τῇ ΒΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΕΖ τῇ ΒΓ ἐστιν ἴση· ὥστε καὶ ἡ ΑΔ τῇ ΕΖ ἐστιν ἴση· καὶ κοινὴ ἡ ΔΕ· ὅλη ἄρα ἡ ΑΕ ὅλῃ τῇ ΔΖ ἐστιν ἴση. ἔστι δὲ καὶ

34.

Τῶν παραλληλογράμμων αἱ ἀπέναντι πλευραὶ καὶ γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας καὶ ἡ διαγώνιος τέμνει αὐτὰ εἰς δύο ἴσα μέρη.

Ἔστω παραλληλόγραμμον τὸ ΑΓΔΒ, διαγώνιος δὲ αὐτοῦ ἡ ΒΓ· λέγω, ὅτι τοῦ παραλληλογράμμου ΑΓΔΒ αἱ ἀπέναντι πλευραὶ καὶ γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας, καὶ ὅτι ἡ διαγώνιος ΒΓ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη.

Διότι, ἐπειδὴ ἡ ΑΒ εἶναι παράλληλος πρὸς τὴν ΓΔ, καὶ αὗται τέμνονται ὑπὸ τῆς ΒΓ, αἱ ἐναλλὰξ γωνίαι ΑΒΓ, ΒΓΔ εἶναι ἴσαι πρὸς ἀλλήλας (θεώρ. 29)· Πάλιν, ἐπειδὴ ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΒΔ καὶ αὗται τέμνονται ὑπὸ τῆς ΒΓ, αἱ ἐναλλὰξ γωνίαι ΑΓΒ, ΓΒΔ εἶναι ἴσαι πρὸς ἀλλήλας. Ὑπάρχουν λοιπὸν δύο τρίγωνα τὰ ΑΒΓ, ΒΓΔ τὰ ὁποῖα ἔχουν τὰς δύο γωνίας ΑΒΓ, ΒΓΑ ἀντιστοίχως ἴσας πρὸς τὰς γωνίας ΒΓΔ, ΓΒΔ καὶ μίαν πλευρὰν ἴσην πρὸς μίαν πλευρὰν τὴν κοινὴν πλευρὰν ἐφ' ἧς πρόσκεινται αἱ ἴσαι γωνίαι τὴν ΒΓ· ἄρα θὰ ἔχουν καὶ τὰς λοιπὰς πλευρὰς ἴσας ἀντιστοίχως καὶ τὴν λοιπὴν γωνίαν ἴσην πρὸς τὴν λοιπὴν γωνίαν (θεώρ. 26)· ἄρα ἡ μὲν πλευρὰ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ, ἡ δὲ ΑΓ πρὸς τὴν ΒΔ, καὶ προσέτι ἡ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν ΓΔΒ. Καὶ ἐπειδή, ἡ μὲν γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΒΓΔ, ἡ δὲ ΓΒΔ εἶναι ἴση πρὸς τὴν ΑΓΒ, ἕπεται, ὅτι ὅλη ἡ ΑΒΔ εἶναι ἴση πρὸς ὅλην τὴν ΑΓΔ (κ. ἔν. 2). Ἐδείχθη δὲ καὶ ἡ ΒΑΓ ἴση πρὸς τὴν ΓΔΒ.

Ἄρα τῶν παραλληλογράμμων αἱ ἀπέναντι πλευραὶ καὶ γωνίαι εἶναι ἴσαι πρὸς ἀλλήλας.

Λέγω τώρα, ὅτι καὶ ἡ διαγώνιος τέμνει αὐτὰ εἰς δύο ἴσα μέρη.

Διότι, ἐπειδὴ ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ, ἡ δὲ ΒΓ εἶναι κοινή, αἱ δύο πλευραὶ ΑΒ, ΑΓ εἶναι ἴσαι πρὸς τὰς δύο πλευρὰς τὰς ΓΔ, ΒΓ ἀντιστοίχως· καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΓΔ (θεώρ. 29). Ἄρα καὶ ἡ βάσις ΑΓ εἶναι ἴση πρὸς τὴν ΔΒ. Ἄρα καὶ τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΒΓΔ (θεώρ. 4).

Ἄρα ἡ διαγώνιος ΒΓ τέμνει τὸ παραλληλόγραμμον ΑΒΓΔ εἰς δύο ἴσα μέρη· ὅπερ ἔδει δεῖξαι.

35.

Τὰ παραλληλόγραμμα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα.

Ἔστω τὰ παραλληλόγραμμα ΑΒΓΔ, ΕΒΓΖ ἔχοντα τὴν αὐτὴν βάσιν ΒΓ καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων ΑΖ, ΒΓ· λέγω, ὅτι τὸ ΑΒΓΔ εἶναι ἴσον πρὸς τὸ παραλληλόγραμμον ΕΒΓΖ.

Διότι, ἐπειδὴ τὸ ΑΒΓΔ εἶναι παραλληλόγραμμον, ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΒΓ (θεώρ. 34). Διὰ τὸν αὐτὸν λόγον ἡ ΕΖ εἶναι ἴση πρὸς τὴν ΒΓ· ὥστε καὶ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΕΖ (κ. ἔν. 1)· καὶ ἡ ΔΕ εἶναι κοινή· ἄρα ὅλη ἡ ΑΕ εἶναι ἴση πρὸς ὅλην τὴν ΔΖ (κ.ἔν. 2). Εἶναι δὲ καὶ ἡ ΑΒ ἴση πρὸς τὴν ΔΓ (θεώρ. 34)·

ἡ ΑΒ τῇ ΔΓ ἴση. δύο δὴ αἱ ΕΑ, ΑΒ δύο ταῖς ΖΔ, ΔΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΖΔΓ γωνίᾳ τῇ ὑπὸ ΕΑΒ ἐστιν ἴση ἡ ἐκτὸς τῇ ἐντός. βάσις ἄρα ἡ ΕΒ βάσει τῇ ΖΓ ἴση ἐστίν, καὶ τὸ ΕΑΒ τρίγωνον τῷ ΔΖΓ τριγώνῳ ἴσον ἔσται· κοινὸν ἀφῃρήσθω τὸ ΔΗΕ· λοιπὸν ἄρα τὸ ΑΒΗΔ τραπέζιον λοιπῷ τῷ ΕΗΓΖ τραπεζίῳ ἐστὶν ἴσον· κοινὸν προσκείσθω τὸ ΗΒΓ τρίγωνον· ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον ὅλῳ τῷ ΕΒΓΖ παραλληλογράμμῳ ἴσον ἐστίν.


Τὰ ἄρα παραλληλόγραμμα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λϛ'.

Τὰ παραλληλόγραμμα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΖΗΘ ἐπὶ ἴσων βάσεων ὄντα τῶν ΒΓ, ΖΗ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΘ, ΒΗ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΖΗ, ἀλλὰ ἡ ΖΗ τῇ ΕΘ ἐστιν ἴση, καὶ ἡ ΒΓ ἄρα τῇ ΕΘ ἐστὶν ἴση. εἰσὶ δὲ καὶ παράλληλοι. καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ ΕΒ, ΘΓ· αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι ἴσαι τε καὶ παράλληλοί εἰσι [καὶ αἱ ΕΒ, ΘΓ ἄρα ἴσαι τέ εἰσι καὶ παράλληλοι]. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΕΒΓΘ. καὶ ἔστιν ἴσον τῷ ΑΒΓΔ· βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει τὴν ΒΓ, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστὶν αὐτῷ ταῖς ΒΓ, ΑΘ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΖΗΘ τῷ αὐτῷ τῷ ΕΒΓΘ ἐστιν ἴσον· ὥστε καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ ἐστιν ἴσον.




Τὰ ἄρα παραλληλόγραμμα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λζ'.

Τὰ τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΔ, ΒΓ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.



Ἐκβεβλήσθω ἡ ΑΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Ε, Ζ, καὶ διὰ μὲν τοῦ Β τῇ ΓΑ παράλληλος ἤχθω ἡ ΒΕ, διὰ δὲ τοῦ Γ τῇ ΒΔ παράλληλος ἤχθω ἡ ΓΖ. παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΕΒΓΑ,

δύο λοιπὸν πλευραί, αἱ ΕΑ, ΑΒ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς δύο ΖΔ, ΔΓ· καὶ ἡ γωνία ΖΔΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΑΒ, ἡ ἐκτὸς πρὸς τὴν ἐντός (θεώρ. 29). ἄρα ἡ βάσις ΕΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΓ, καὶ τὸ τρίγωνον ΕΑΒ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΖΓ (θεώρ. 4)· ἂς ἀφαιρεθῇ τὸ κοινὸν τρίγωνον ΔΗΕ· ἄρα τὸ ἀπομένον τραπέζιον ΑΒΗΔ εἶναι ἴσον πρὸς τὸ ἀπομένον τραπέζιον ΕΗΓΖ (κ. ἔν. 3)· ἂς προστεθῇ εἰς ἕκαστον τούτων τὸ κοινὸν τρίγωνον ΗΒΓ· ἄρα ὅλον τὸ ΑΒΓΔ παραλληλόγραμμον εἶναι ἴσον πρὸς ὅλον τὸ παραλληλόγραμμον ΕΒΓΖ.

Τὰ παραλληλόγραμμα ἄρα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα· ὅπερ ἔδει δεῖξαι.

36.

Τὰ παραλληλόγραμμα τὰ ἔχοντα ἴσας βάσεις καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα.

Ἔστω τὰ παραλληλόγραμμα ΑΒΓΔ, ΕΖΗΘ ἔχοντα τὰς ἴσας βάσεις ΒΓ, ΖΗ καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων ΑΘ, ΒΗ· λέγω, ὅτι τὸ παραλληλόγραμμον ΑΒΓΔ εἶναι ἴσον πρὸς τὸ ΕΖΗΘ.

Διότι, ἂς ἀχθοῦν αἱ ΒΕ, ΓΘ. Καὶ ἐπειδὴ ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΖΗ, ἀλλὰ ἡ ΖΗ εἶναι ἴση πρὸς τὴν ΕΘ, ἕπεται, ὅτι ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΕΘ (κ. ἔν. 1). Εἶναι δὲ καὶ παράλληλοι. Καὶ ἑνώνουν αὐτὰς αἱ ΕΒ, ΘΓ· αἱ ἑνοῦσαι ὅμως πρὸς τὰ αὐτὰ μέρη εὐθείας ἴσας καὶ παραλλήλους εἶναι ἴσαι καὶ παράλληλοι [ἄρα καὶ αἱ ΕΒ, ΘΓ εἶναι ἴσαι καὶ παράλληλοι] (θεώρ. 33). Ἄρα τὸ ΕΒΓΘ εἶναι παραλληλόγραμμον (θεώρ. 34). Καὶ εἶναι ἴσον πρὸς τὸ ΑΒΓΔ· διότι ἔχει πρὸς αὐτὸ τὴν αὐτὴν βάσιν ΒΓ, καὶ εἶναι μεταξὺ τῶν αὐτῶν παραλλήλων τῶν ΒΓ, ΑΘ (θεώρ. 35). Διὰ τὸν αὐτὸν λόγον καὶ τὸ ΕΖΗΘ εἶναι ἴσον πρὸς τὸ αὐτὸ τὸ ΕΒΓΘ (θεώρ. 35)· ὥστε καὶ τὸ παραλληλόγραμμον ΑΒΓΔ εἶναι ἴσον πρὸς τὸ ΕΖΗΘ (κ. ἔν. 1).

Ἄρα τὰ παραλληλόγραμμα τὰ ἔχοντα ἴσας βάσεις καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα· ὅπερ ἔδει δεῖξαι.

37.

Τὰ τρίγωνα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα.

Ἔστω τὰ τρίγωνα ΑΒΓ, ΔΒΓ ἔχοντα τὴν αὐτὴν βάσιν ΒΓ καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων ΑΔ, ΒΓ· λέγω, ὅτι τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΒΓ.

Ἂς προεκβληθῇ ἐξ ἀμφοτέρων τῶν μερῶν ἡ ΑΔ πρὸς τὰ Ε, Ζ καὶ διὰ μὲν τοῦ Β ἂς ἀχθῇ ἡ ΒΕ παράλληλος πρὸς τὴν ΓΑ, διὰ δὲ τοῦ Γ ἂς ἀχθῇ ἡ ΓΖ παράλληλος πρὸς τὴν ΒΔ (θεώρ. 31). Ἕκαστον ἄρα τῶν ΕΒΓΑ, ΔΒΓΖ εἶναι


ΔΒΓΖ· καί εἰσιν ἴσα· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΕΖ· καὶ ἔστι τοῦ μὲν ΕΒΓΑ παραλληλογράμμου ἥμισυ τὸ ΑΒΓ τρίγωνον· ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ ΔΒΓΖ παραλληλογράμμου ἥμισυ τὸ ΔΒΓ τρίγωνον· ἡ γὰρ ΔΓ διάμετρος αὐτὸ δίχα τέμνει· [τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν.] ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λη΄.

Τὰ τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν.

Ἔστω τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΕΖ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΑΔ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.




Ἐκβεβλήσθω γὰρ ἡ ΑΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η, Θ, καὶ διὰ μὲν τοῦ Β τῇ ΓΑ παράλληλος ἤχθω ἡ ΒΗ, διὰ δὲ τοῦ Ζ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΖΘ. παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΗΒΓΑ, ΔΕΖΘ· καὶ ἴσον τὸ ΗΒΓΑ τῷ ΔΕΖΘ· ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΕΖ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΗΘ· καί ἔστι τοῦ μὲν ΗΒΓΑ παραλληλογράμμου ἥμισυ τὸ ΑΒΓ τρίγωνον. ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει. τοῦ δὲ ΔΕΖΘ παραλληλογράμμου ἥμισυ τὸ ΖΕΔ τρίγωνον· ἡ γὰρ ΔΖ διάμετρος αὐτὸ δίχα τέμνει [τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν]. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

λθ΄.

Τὰ ἴσα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Ἔστω ἴσα τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῆς ΒΓ· λέγω, ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.



Ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΓ.

Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α σημείου τῇ ΒΓ εὐθείᾳ παράλληλος ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΕΓ. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις.

παραλληλόγραμμον· καὶ εἶναι ἴσα· διότι ἔχουν τὴν αὐτὴν βάσιν ΒΓ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων ΒΓ, ΕΖ (θεώρ. 35)· καὶ εἶναι τοῦ μὲν παραλληλογράμμου ΕΒΓΑ τὸ τρίγωνον ΑΒΓ τὸ ἥμισυ· διότι ἡ διαγώνιος ΑΒ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη (θεώρ. 34)· τοῦ δὲ παραλληλογράμμου ΔΒΓΖ τὸ τρίγωνον ΔΒΓ εἶναι τὸ ἥμισυ· διότι ἡ διαγώνιος ΔΓ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη [Τὰ δὲ ἡμίση τῶν ἴσων εἶναι μεταξύ των ἴσα]. Ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΒΓ.

Ἄρα τὰ τρίγωνα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι μεταξύ των ἴσα· ὅπερ ἔδει δεῖξαι.

38.

Τὰ τρίγωνα τὰ ἔχοντα ἴσας βάσεις καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι ἴσα.

Ἔστω τὰ τρίγωνα ΑΒΓ, ΔΕΖ ἔχοντα ἴσας βάσεις τὰς ΒΓ, ΕΖ καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων ΒΖ, ΑΔ· λέγω, ὅτι τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΕΖ.

Διότι, ἂς προεκβληθῇ ἡ ΑΔ καὶ ἀπὸ τὰ δύο μέρη αὐτῆς μέχρι τῶν σημείων Η, Θ, καὶ διὰ μὲν τοῦ Β ἂς ἀχθῇ ἡ ΒΗ παράλληλος πρὸς τὴν ΓΑ, διὰ δὲ τοῦ Ζ ἂς ἀχθῇ ἡ ΖΘ παράλληλος πρὸς τὴν ΔΕ (θεώρ. 31). Ἄρα ἕκαστον τῶν ΗΒΓΑ, ΔΕΖΘ εἶναι παραλληλόγραμμον· καὶ τὸ ΗΒΓΑ εἶναι ἴσον πρὸς τὸ ΔΕΖΘ· διότι ἔχουν ἴσας βάσεις τὰς ΒΓ, ΕΖ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων, ΒΖ, ΗΘ (θεώρ. 36)· καὶ εἶναι τὸ μὲν τρίγωνον ΑΒΓ τὸ ἥμισυ τοῦ παραλληλογράμμου ΗΒΓΑ. Διότι ἡ διαγώνιος ΑΒ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη (θεώρ. 34). τὸ δὲ τρίγωνον ΖΕΔ εἶναι τὸ ἥμισυ τοῦ παραλληλογράμμου ΔΕΖΘ· διότι ἡ διαγώνιος ΔΖ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη [τὰ ἡμίση δὲ τῶν ἴσων εἶναι μεταξύ των ἴσα]. Ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΕΖ.

Ἄρα τὰ τρίγωνα τὰ ἔχοντα ἴσας βάσεις καὶ εὑρισκόμενα μεταξὺ τῶν αὐτῶν παραλλήλων εἶναι ἴσα· ὅπερ ἔδει δεῖξαι.

39.

Τὰ ἴσα τρίγωνα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ πρὸς τὰ αὐτὰ μέρη τῆς βάσεως κείμενα, εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων.

Ἔστω τὰ ἴσα τρίγωνα ΑΒΓ, ΔΒΓ ἔχοντα τὴν αὐτὴν βάσιν ΒΓ καὶ κείμενα πρὸς τὰ αὐτὰ μέρη αὐτῆς· λέγω, ὅτι ταῦτα εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων.

Διότι, ἂς ἀχθῇ ἡ ΑΔ· λέγω, ὅτι ἡ ΑΔ εἶναι παράλληλος πρὸς τὴν ΒΓ.

Διότι, ἐὰν δὲν εἶναι, ἂς ἀχθῇ διὰ τοῦ σημείου Α ἡ ΑΕ παράλληλος πρὸς τὴν ΒΓ (θεώρ. 31) καὶ ἂς ἀχθῇ ἡ ΕΓ. Ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΕΒΓ· διότι ἔχει τὴν αὐτὴν βάσιν πρὸς αὐτό, τὴν ΒΓ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων (θεώρ. 37). Ἀλλὰ τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον


ἀλλὰ τὸ ΑΒΓ τῷ ΔΒΓ ἐστιν ἴσον· καὶ τὸ ΔΒΓ ἄρα τῷ ΕΒΓ ἴσον ἐστὶ τὸ μεῖζον τῷ ἐλάσσονι· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΑΕ τῇ ΒΓ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλη τις πλὴν τῆς ΑΔ· ἡ ΑΔ ἄρα τῇ ΒΓ ἐστι παράλληλος.

Τὰ ἄρα ἴσα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

μ΄.

Τὰ ἴσα τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.

Ἔστω ἴσα τρίγωνα τὰ ΑΒΓ, ΓΔΕ ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΓΕ καὶ ἐπὶ τὰ αὐτὰ μέρη· λέγω, ὅτι καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν.



Ἐπεζεύχθω γὰρ ἡ ΑΔ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΒΕ.


Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Α τῇ ΒΕ παράλληλος ἡ ΑΖ, καὶ ἐπεζεύχθω ἡ ΖΕ. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΖΓΕ τριγώνῳ· ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΓΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΕ, ΑΖ. ἀλλὰ τὸ ΑΒΓ τρίγωνον ἴσον ἐστὶ τῷ ΔΓΕ [τριγώνῳ]· καὶ τὸ ΔΓΕ ἄρα [τρίγωνον] ἴσον ἐστὶ τῷ ΖΓΕ τριγώνῳ τὸ μεῖζον τῷ ἐλάσσονι· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα παράλληλος ἡ ΑΖ τῇ ΒΕ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλη τις πλὴν τῆς ΑΔ. ἡ ΑΔ ἄρα τῇ ΒΕ ἐστι παράλληλος.

Τὰ ἄρα ἴσα τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐπὶ τὰ αὐτὰ μέρη, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

μα΄.

Ἐὰν παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ, διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου.

Παραλληλόγραμμον γὰρ τὸ ΑΒΓΔ τριγώνῳ τῷ ΕΒΓ βάσιν τε ἐχέτω τὴν αὐτὴν τὴν ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἔστω ταῖς ΒΓ, ΑΕ· λέγω, ὅτι διπλάσιόν ἐστι τὸ ΑΒΓΔ παραλληλόγραμμον τοῦ ΒΕΓ τριγώνου.



Ἐπεζεύχθω γὰρ ἡ ΑΓ. ἴσον δή ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΕ. ἀλλὰ τὸ ΑΒΓΔ παραλληλόγραμμον διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου· ἡ γὰρ ΑΓ διάμετρος αὐτὸ δίχα τέμνει· ὥστε τὸ ΑΒΓΔ παραλληλόγραμμον καὶ τοῦ ΕΒΓ τριγώνου ἐστὶ διπλάσιον.

πρὸς τὸ ΔΒΓ· ἄρα καὶ τὸ ΔΒΓ εἶναι ἴσον πρὸς τὸ ΕΒΓ (κ. ἐν. 1), ἤτοι τὸ μεγαλύτερον εἶναι ἴσον πρὸς τὸ μικρότερον· ὅπερ ἀδύνατον· ἄρα ἡ ΑΕ δὲν εἶναι παράλληλος πρὸς τὴν ΒΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι δὲν ὑπάρχει ἄλλη τις παράλληλος, πλὴν τῆς ΑΔ· ἄρα ἡ ΑΔ εἶναι παράλληλος πρὸς τὴν ΒΓ.

Ἄρα τὰ ἴσα τρίγωνα τὰ ἔχοντα τὴν αὐτὴν βάσιν καὶ κείμενα πρὸς τὰ αὐτὰ μέρη αὐτῆς, εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων· ὅπερ ἔδει δεῖξαι.

40.

Τὰ ἴσα τρίγωνα, τὰ ἔχοντα ἴσας βάσεις καὶ κείμενα πρὸς τὰ αὐτὰ μέρη αὐτῶν, εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων.

Ἔστω τὰ ἴσα τρίγωνα ΑΒΓ, ΓΔΕ ἔχοντα ἴσας βάσεις τὰς ΒΓ, ΓΕ καὶ κείμενα πρὸς τὰ αὐτὰ μέρη τούτων. Λέγω, ὅτι εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων.

Διότι, ἂς ἀχθῇ ἡ ΑΔ· λέγω, ὅτι ἡ ΑΔ εἶναι παράλληλος πρὸς τὴν ΒΕ.

Διότι, ἐὰν δὲν εἶναι, ἂς ἀχθῇ διὰ τοῦ Α ἡ ΑΖ παράλληλος πρὸς τὴν ΒΕ καὶ ἂς ἐπιζευχθῇ ἡ ΖΕ. Ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΖΓΕ· διότι ταῦτα ἔχουν ἴσας βάσεις, τὰς ΒΓ, ΓΕ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων ΒΕ, ΑΖ (θεώρ. 38). Ἀλλὰ τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΓΕ· ἄρα καὶ τὸ τρίγωνον ΔΓΕ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΖΓΕ (κ. ἐνν. 1), ἤτοι τὸ μεγαλύτερον, ἴσον πρὸς τὸ μικρότερον· ὅπερ ἀδύνατον· ἄρα ἡ ΑΖ δὲν θὰ εἶναι παράλληλος πρὸς τὴν ΒΕ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὐδεμία ἄλλη παράλληλος ὑπάρχει πλὴν τῆς ΑΔ· ἄρα ἡ ΑΔ εἶναι παράλληλος πρὸς τὴν ΒΕ.

Ἄρα τὰ ἴσα τρίγωνα τὰ ἔχοντα ἴσας βάσεις καὶ κείμενα πρὸς τὰ αὐτὰ μέρη αὐτῶν, εὑρίσκονται καὶ μεταξὺ τῶν αὐτῶν παραλλήλων· ὅπερ ἔδει δεῖξαι.

41.

Ἐὰν παραλληλόγραμμον ἔχῃ τὴν αὐτὴν βάσιν μὲ τρίγωνον καὶ εἶναι ταῦτα μεταξὺ τῶν αὐτῶν παραλλήλων, τὸ παραλληλόγραμμον εἶναι διπλάσιον τοῦ τριγώνου.

Διότι, ἂς ἔχῃ τὸ παραλληλόγραμμον ΑΒΓΔ τὴν αὐτὴν βάσιν μὲ τὸ τρίγωνον ΕΒΓ, τὴν ΒΓ καὶ ἂς εἶναι ταῦτα μεταξὺ τῶν αὐτῶν παραλλήλων τῶν ΒΓ, ΑΕ· λέγω, ὅτι τὸ παραλληλόγραμμον ΑΒΓΔ εἶναι διπλάσιον τοῦ τριγώνου ΒΕΓ.

Διότι ἂς ἀχθῇ ἡ ΑΓ. Τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΕΒΓ· διότι ἔχουν τὴν αὐτὴν βάσιν ΒΓ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων ΒΓ, ΑΕ (θεώρ. 37). Ἀλλὰ τὸ παραλληλόγραμμον ΑΒΓΔ εἶναι διπλάσιον τοῦ τριγώνου ΑΒΓ· διότι ἡ διαγώνιος ΑΓ τέμνει αὐτὸ εἰς δύο ἴσα μέρη (θεώρ. 34). Ὥστε τὸ παραλληλόγραμμον ΑΒΓΔ εἶναι διπλάσιον τοῦ τριγώνου ΕΒΓ.

Ἐὰν ἄρα παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ, διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου· ὅπερ ἔδει δεῖξαι.

μβ΄.

Τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.


Ἔστω τὸ μὲν δοθὲν τρίγωνον τὸ ΑΒΓ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Δ· δεῖ δὴ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν τῇ Δ γωνίᾳ εὐθυγράμμῳ.

Τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΑΕ, καὶ συνεστάτω πρὸς τῇ ΕΓ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Ε τῇ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΓΕΖ, καὶ διὰ μὲν τοῦ Α τῇ ΕΓ παράλληλος ἤχθω ἡ ΑΗ, διὰ δὲ τοῦ Γ τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΓΗ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΕΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΓ, ἴσον ἐστὶ καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΑΕΓ τριγώνῳ· ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΕ, ΕΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΗ· διπλάσιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τοῦ ΑΕΓ τριγώνου. ἔστι δὲ καὶ τὸ ΖΕΓΗ παραλληλόγραμμον διπλάσιον τοῦ ΑΕΓ τριγώνου· βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει καὶ ἐν ταῖς αὐταῖς ἐστιν αὐτῷ παραλλήλοις· ἴσον ἄρα ἐστὶ τὸ ΖΕΓΗ παραλληλόγραμμον τῷ ΑΒΓ τριγώνῳ. καὶ ἔχει τὴν ὑπὸ ΓΕΖ γωνίαν ἴσην τῇ δοθείσῃ τῇ Δ.

Τῷ ἄρα δοθέντι τριγώνῳ τῷ ΑΒΓ ἴσον παραλληλόγραμμον συνέσταται τὸ ΖΕΓΗ ἐν γωνίᾳ τῇ ὑπὸ ΓΕΖ, ἥτις ἐστὶν ἴση τῇ Δ· ὅπερ ἔδει ποιῆσαι.

μγ΄.

Παντὸς παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν.



Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα μὲν ἔστω τὰ ΕΘ, ΖΗ, τὰ δὲ λεγόμενα παραπληρώματα τὰ ΒΚ, ΚΔ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΒΚ παραπλήρωμα τῷ ΚΔ παραπληρώματι.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΓΔ τριγώνῳ. πάλιν, ἐπεὶ παραλληλόγραμμόν ἐστι τὸ ΕΘ, διάμετρος δὲ αὐτοῦ ἐστιν ἡ ΑΚ, ἴσον ἐστὶ τὸ ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΚΖΓ τρίγωνον τῷ ΚΗΓ ἐστιν ἴσον. ἐπεὶ οὖν τὸ μὲν ΑΕΚ τρίγωνον τῷ ΑΘΚ τριγώνῳ ἐστὶν ἴσον, τὸ δὲ ΚΖΓ τῷ ΚΗΓ, τὸ ΑΕΚ τρίγωνον μετὰ τοῦ ΚΗΓ ἴσον

Ἐὰν ἄρα παραλληλόγραμμον ἔχῃ τὴν αὐτὴν βάσιν μὲ τρίγωνον καὶ εὑρίσκονται ταῦτα μεταξὺ τῶν αὐτῶν παραλλήλων, τὸ παραλληλόγραμμον εἶναι διπλάσιον τοῦ τριγώνου· ὅπερ ἔδει δεῖξαι.

42.

Πρὸς τὸ δοθὲν τρίγωνον νὰ κατασκευασθῇ ἴσον παραλληλόγραμμον ἐπὶ δοθείσης εὐθυγράμμου γωνίας.

Ἔστω τὸ μὲν δοθὲν τρίγωνον τὸ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ Δ· πρέπει νὰ κατασκευασθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ τρίγωνον ΑΒΓ ἐπὶ τῆς εὐθυγράμμου γωνίας Δ.

Ἂς τμηθῇ εἰς τὸ μέσον ἡ ΒΓ κατὰ τὸ σημεῖον Ε (θεωρ. 10), καὶ ἂς ἀχθῇ ἡ ΑΕ, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΕΓ καὶ ἐκ τοῦ ἐπ' αὐτῆς σημείου Ε γωνία ἴση πρὸς τὴν Δ, ἡ ΓΕΖ (θεώρ. 23), καὶ διὰ μὲν τοῦ Α ἂς ἀχθῇ ἡ ΑΗ παράλληλος πρὸς τὴν ΕΓ (θεώρ. 31), διὰ δὲ τοῦ Γ ἂς ἀχθῇ ἡ ΓΗ παράλληλος πρὸς τὴν ΕΖ· ἄρα τὸ σχῆμα ΖΕΓΗ εἶναι παραλληλόγραμμον. Καὶ ἐπειδὴ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΕΓ, εἶναι ἴσον καὶ τὸ τρίγωνον ΑΒΕ πρὸς τὸ τρίγωνον ΑΕΓ· διότι ἔχουν ἴσας βάσεις τὰς ΒΕ, ΕΓ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων ΒΓ, ΑΗ (θεώρ. 38)· ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι διπλάσιον τοῦ τριγώνου ΑΕΓ. Εἶναι δὲ καὶ τὸ παραλληλόγραμμον ΖΕΓΗ διπλάσιον τοῦ τριγώνου ΑΕΓ· διότι ἔχει τὴν αὐτὴν βάσιν πρὸς αὐτὸ καὶ εὑρίσκονται μεταξὺ τῶν αὐτῶν παραλλήλων (θεώρ. 41)· ἄρα τὸ παραλληλόγραμμον ΖΕΓΗ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΒΓ. Καὶ ἔχει τὴν γωνίαν ΓΕΖ ἴσην πρὸς τὴν δοθεῖσαν γωνίαν Δ.

Ἄρα πρὸς τὸ δοθὲν τρίγωνον ΑΒΓ κατεσκευάσθη ἴσον παραλληλόγραμμον τὸ ΖΕΓΗ, ὑπὸ τὴν γωνίαν ΓΕΖ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν Δ· ὅπερ ἔδει ποιῆσαι.

43.

Παντὸς παραλληλογράμμου τὰ παραπληρώματα τῶν παρὰ τὴν διαγώνιον παραλληλογράμμων εἶναι μεταξύ των ἴσα.

Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διαγώνιος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν διαγώνιον ΑΓ παραλληλόγραμμα μὲν ἔστω τὰ ΕΘ, ΖΗ, συναφῆ παραπληρώματα δὲ τούτων τὰ ΒΚ, ΚΔ· λέγω, ὅτι τὸ παραπλήρωμα ΒΚ εἶναι ἴσον πρὸς τὸ παραπλήρωμα ΚΔ.

Διότι, ἐπειδὴ τὸ ΑΒΓΔ εἶναι παραλληλόγραμμον, ἡ δὲ ΑΓ εἶναι διαγώνιος αὐτοῦ, τὸ τρίγωνον ΑΒΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΓΔ (θεώρ. 31). Πάλιν, ἐπειδὴ τὸ ΕΘ εἶναι παραλληλόγραμμον, διαγώνιος δὲ αὐτοῦ ἡ ΑΚ, τὸ τρίγωνον ΑΕΚ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΘΚ. Διὰ τὸν αὐτὸν λόγον καὶ τὸ τρίγωνον ΚΖΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΚΗΓ. Ἐπειδὴ λοιπὸν τὸ μὲν τρίγωνον ΑΕΚ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΘΚ, τὸ δὲ ΚΖΓ ἴσον πρὸς τὸ ΚΗΓ,

ἐστὶ τῷ ΑΘΚ τριγώνῳ μετὰ τοῦ ΚΖΓ· ἔστι δὲ καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον ὅλῳ τῷ ΑΔΓ ἴσον· λοιπὸν ἄρα τὸ ΒΚ παραπλήρωμα λοιπῷ τῷ ΚΔ παραπληρώματί ἐστιν ἴσον.

Παντὸς ἄρα παραλληλογράμμου χωρίου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων τὰ παραπληρώματα ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

μδ'.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τῷ δοθέντι τριγώνῳ ἴσον παραλληλόγραμμον παραβαλεῖν ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν τρίγωνον τὸ Γ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Δ· δεῖ δὴ παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν ΑΒ τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβαλεῖν ἐν ἴσῃ τῇ Δ γωνίᾳ.

Συνεστάτω τῷ Γ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕΖΗ ἐν γωνίᾳ τῇ ὑπὸ ΕΒΗ, ἥ ἐστιν ἴση τῇ Δ· καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΒΕ τῇ ΑΒ, καὶ διήχθω ἡ ΖΗ ἐπὶ τὸ Θ, καὶ διὰ τοῦ Α ὁποτέρᾳ τῶν ΒΗ, ΕΖ παράλληλος ἤχθω ἡ ΑΘ, καὶ ἐπεζεύχθω ἡ ΘΒ. καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΑΘ, ΕΖ εὐθεῖα ἐνέπεσεν ἡ ΘΖ, αἱ ἄρα ὑπὸ ΑΘΖ, ΘΖΕ γωνίαι δυσὶν ὀρθαῖς εἰσιν ἴσαι. αἱ ἄρα ὑπὸ ΒΘΗ, ΗΖΕ δύο ὀρθῶν ἐλάσσονές εἰσιν· αἱ δὲ ἀπὸ ἐλασσόνων ἢ δύο ὀρθῶν εἰς ἄπειρον ἐκβαλλόμεναι συμπίπτουσιν· αἱ ΘΒ, ΖΕ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Κ, καὶ διὰ τοῦ Κ σημείου ὁποτέρᾳ τῶν ΕΑ, ΖΘ παράλληλος ἤχθω ἡ ΚΛ, καὶ ἐκβεβλήσθωσαν αἱ ΘΑ, ΗΒ ἐπὶ τὰ Λ, Μ σημεῖα. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΘΛΚΖ, διάμετρος δὲ αὐτοῦ ἡ ΘΚ, περὶ δὲ τὴν ΘΚ παραλληλόγραμμα μὲν τὰ ΑΗ, ΜΕ, τὰ δὲ λεγόμενα παραπληρώματα τὰ ΛΒ, ΒΖ· ἴσον ἄρα ἐστὶ τὸ ΛΒ τῷ ΒΖ. ἀλλὰ τὸ ΒΖ τῷ Γ τριγώνῳ ἐστὶν ἴσον· καὶ τὸ ΛΒ ἄρα τῷ Γ ἐστιν ἴσον. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΗΒΕ γωνία τῇ ὑπὸ ΑΒΜ, ἀλλὰ ἡ ὑπὸ ΗΒΕ τῇ Δ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΑΒΜ ἄρα τῇ Δ γωνίᾳ ἐστὶν ἴση.

Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ τῷ δοθέντι τριγώνῳ τῷ Γ ἴσον παραλληλόγραμμον παραβέβληται τὸ ΛΒ ἐν γωνίᾳ τῇ ὑπὸ ΑΒΜ, ἥ ἐστιν ἴση τῇ Δ· ὅπερ ἔδει ποιῆσαι.

με'.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον τὸ ΑΒΓΔ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ Ε· δεῖ δὴ τῷ ΑΒΓΔ εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον συστήσασθαι ἐν τῇ δοθείσῃ γωνίᾳ τῇ Ε.

τὸ τρίγωνον ΑΕΚ μετὰ τοῦ ΚΗΓ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΑΘΚ μετὰ τοῦ ΚΖΓ (κ. ἔν. 2)· εἶναι δὲ καὶ ὅλον τὸ τρίγωνον ΑΒΓ ἴσον πρὸς ὅλον τὸ ΑΔΓ· ἄρα τὸ ὑπόλοιπον παραπλήρωμα ΒΚ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον παραπλήρωμα ΚΔ (κ. ἔν. 3).

Παντὸς ἄρα παραλληλογράμμου, τὰ παραπληρώματα τῶν παρὰ τὴν διαγώνιον παραλληλογράμμων εἶναι ἴσα μεταξύ των· ὅπερ ἔδει δεῖξαι.

44.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν καὶ ὑπὸ τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν νὰ παραβληθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ δοθὲν τρίγωνον.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ΑΒ, τὸ δὲ δοθὲν τρίγωνον τὸ Γ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ Δ· πρέπει, παρὰ τὴν δοθεῖσαν εὐθεῖαν τὴν ΑΒ νὰ παραβληθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ τρίγωνον Γ, ὑπὸ γωνίαν ἴσην πρὸς τὴν Δ. Ἄς κατασκευασθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ τρίγωνον Γ τὸ ΒΕΖΗ ὑπὸ τὴν γωνίαν ΕΒΗ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν Δ (θεώρ. 42)· καὶ ἄς κεῖνται ἐπὶ τῆς αὐτῆς εὐθείας αἱ εὐθεῖαι ΒΕ, ΑΒ καὶ ἄς προεκταθῇ ἡ ΖΗ μέχρι τοῦ Θ, καὶ διὰ τοῦ Α ἄς ἀχθῇ ἡ ΑΘ παράλληλος πρὸς ἑκάστην τῶν ΒΗ, ΕΖ (θεώρ. 31), καὶ ἄς ἐπιζευχθῇ ἡ ΘΒ. Καὶ ἐπειδὴ αἱ παράλληλοι ΑΘ, ΕΖ τέμνονται ὑπὸ τῆς εὐθείας ΘΖ, ἕπεται, ὅτι αἱ γωνίαι ΑΘΖ, ΘΖΕ ἰσοῦνται μὲ δύο ὀρθάς (θεώρ. 29). Ἄρα αἱ γωνίαι ΒΘΗ, ΗΖΕ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν· αἱ εὐθεῖαι δὲ αἱ σχηματίζουσαι γωνίας μικροτέρας τῶν δύο ὀρθῶν, προεκβαλλόμεναι εἰς τὸ ἄπειρον συναντῶνται (αἴτ. 5)· ἄρα αἱ ΘΒ, ΖΕ προεκβαλλόμεναι θὰ συναντηθοῦν. Ἄς προεκβληθοῦν καὶ ἄς συναντηθοῦν κατὰ τὸ Κ· καὶ διὰ τοῦ σημείου Κ ἄς ἀχθῇ ἡ ΚΛ, παράλληλος πρὸς ἑκάστην τῶν ΕΑ, ΖΘ, καὶ ἄς προεκλβηθοῦν αἱ ΘΑ, ΗΒ μέχρι τῶν σημείων Λ, Μ. Ἄρα τὸ ΘΛΚΖ εἶναι παραλληλόγραμμον, διαγώνιος δὲ αὐτοῦ ἡ ΘΚ, περὶ δὲ τὴν ΘΚ εἶναι παραλληλόγραμμα μὲν τὰ ΑΗ, ΜΕ, τὰ δὲ λεγόμενα παραπληρώματα τούτων τὰ ΛΒ, ΒΖ· ἄρα τὸ ΛΒ εἶναι ἴσον πρὸς τὸ ΒΖ (θεώρ. 43). Ἀλλὰ τὸ ΒΖ εἶναι ἴσον πρὸς τὸ τρίγωνον Γ· ἄρα καὶ τὸ ΛΒ εἶναι ἴσον πρὸς τὸ Γ (κ. ἔν. 1). Καὶ ἐπειδὴ ἡ γωνία ΗΒΕ εἶναι ἴση πρὸς τὴν ΑΒΜ (θεώρ. 15), ἀλλὰ ἡ ΗΒΕ εἶναι ἴση πρὸς τὴν Δ, ἕπεται, ὅτι ἡ ΑΒΜ εἶναι ἴση πρὸς τὴν γωνίαν Δ.


Παρὰ τὴν δοθεῖσαν ἄρα εὐθεῖαν τὴν ΑΒ, πρὸς τὸ δοθὲν τρίγωνον τὸ Γ, παρεβλήθη τὸ ἴσον παραλληλόγραμμον τὸ ΛΒ ὑπὸ τὴν γωνίαν ΑΒΜ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν Δ· ὅπερ ἔδει ποιῆσαι.

45.

Νὰ κατασκευασθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ δοθὲν εὐθύγραμμον σχῆμα, ὑπὸ τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν.

Ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον σχῆμα τὸ ΑΒΓΔ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ Ε· πρέπει νὰ κατασκευασθῇ παραλληλόγραμμον ἴσον πρὸς τὸ εὐθύγραμμον ΑΒΓΔ ὑπὸ τὴν δοθεῖσαν γωνίαν Ε.

Ἐπεζεύχθω ἡ ΔΒ, καὶ συνεστάτω τῷ ΑΒΔ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΖΘ ἐν τῇ ὑπὸ ΘΚΖ γωνίᾳ, ἥ ἐστιν ἴση τῇ Ε· καὶ παραβεβλήσθω παρὰ τὴν ΗΘ εὐθεῖαν τῷ ΔΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΗΜ ἐν τῇ ὑπὸ ΗΘΜ γωνίᾳ, ἥ ἐστιν ἴση τῇ Ε· καὶ ἐπεὶ ἡ Ε γωνία ἑκατέρᾳ τῶν ὑπὸ ΘΚΖ, ΗΘΜ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΘΚΖ ἄρα τῇ ὑπὸ ΗΘΜ ἐστιν ἴση. κοινὴ προσκείσθω



ἡ ὑπὸ ΚΘΗ· αἱ ἄρα ὑπὸ ΖΚΘ, ΚΘΗ ταῖς ὑπὸ ΚΘΗ, ΗΘΜ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΖΚΘ, ΚΘΗ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. καὶ αἱ ὑπὸ ΚΘΗ, ΗΘΜ ἄρα δύο ὀρθαῖς ἴσαι εἰσίν. πρὸς δή τινι εὐθείᾳ τῇ ΗΘ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Θ δύο εὐθεῖαι αἱ ΚΘ, ΘΜ μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας δύο ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΘΜ· καὶ ἐπεὶ εἰς παραλλήλους τὰς ΚΜ, ΖΗ εὐθεῖα ἐνέπεσεν ἡ ΘΗ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΜΘΗ, ΘΗΖ ἴσαι ἀλλήλαις εἰσίν. κοινὴ προσκείσθω ἡ ὑπὸ ΘΗΛ· αἱ ἄρα ὑπὸ ΜΘΗ, ΘΗΛ ταῖς ὑπὸ ΘΗΖ, ΘΗΛ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΜΘΗ, ΘΗΛ δύο ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΘΗΖ, ΘΗΛ ἄρα δύο ὀρθαῖς ἴσαι εἰσίν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΛ· καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΘΗ ἴση τε καὶ παράλληλός ἐστιν, ἀλλὰ καὶ ἡ ΘΗ τῇ ΜΛ, καὶ ἡ ΚΖ ἄρα τῇ ΜΛ ἴση τε καὶ παράλληλός ἐστιν· καὶ ἐπιζευγνύουσιν αὐτὰς εὐθεῖαι αἱ ΚΜ, ΖΛ· καὶ αἱ ΚΜ, ΖΛ ἄρα ἴσαι τε καὶ παράλληλοί εἰσιν· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΖΛΜ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΒΔ τρίγωνον τῷ ΖΘ παραλληλογράμμῳ, τὸ δὲ ΔΒΓ τῷ ΗΜ, ὅλον ἄρα τὸ ΑΒΓΔ εὐθύγραμμον ὅλῳ τῷ ΚΖΛΜ παραλληλογράμμῳ ἐστὶν ἴσον.


Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓΔ ἴσον παραλληλόγραμμον συνέσταται τὸ ΚΖΛΜ ἐν γωνίᾳ τῇ ὑπὸ ΖΚΜ, ἥ ἐστιν ἴση τῇ δοθείσῃ τῇ Ε· ὅπερ ἔδει ποιῆσαι.

μς'.

Ἀπὸ τῆς δοθείσης εὐθείας τετράγωνον ἀναγράψαι.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· δεῖ δὴ ἀπὸ τῆς ΑΒ εὐθείας τετράγωνον ἀναγράψαι.

Ἤχθω τῇ ΑΒ εὐθείᾳ ἀπὸ τοῦ πρὸς αὐτῇ σημείου τοῦ Α πρὸς ὀρθὰς ἡ ΑΓ,



καὶ κείσθω τῇ ΑΒ ἴση ἡ ΑΔ· καὶ διὰ μὲν τοῦ Δ σημείου τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΕ, διὰ δὲ τοῦ Β σημείου τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΒΕ. Παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΑΔΕΒ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΑΔ τῇ ΒΕ. ἀλλὰ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση. αἱ τέσσαρες ἄρα αἱ ΒΑ, ΑΔ, ΔΕ, ΕΒ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΔΕΒ παραλληλόγραμμον. λέγω δή, ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ εἰς παραλλήλους τὰς ΑΒ, ΔΕ

Ἂς ἀχθῇ ἡ ΔΒ καὶ ἂς κατασκευασθῇ παραλληλόγραμμον τὸ ΖΘ ἴσον πρὸς τὸ τρίγωνον ΑΒΔ ὑπὸ τὴν γωνίαν ΘΚΖ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν Ε (θεώρ. 42)· καὶ ἂς παραβληθῇ παρὰ τὴν εὐθεῖαν ΗΘ παραλληλόγραμμον τὸ ΗΜ ἴσον πρὸς τὸ τρίγωνον ΔΒΓ ὑπὸ τὴν γωνίαν ΗΘΜ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν Ε (θεώρ. 44). Καὶ ἐπειδὴ ἡ γωνία Ε εἶναι ἴση πρὸς ἑκάστην τῶν ΘΚΖ, ΗΘΜ, ἕπεται, ὅτι ἡ ΘΚΖ εἶναι ἴση πρὸς τὴν ΗΘΜ (κ. ἔν. 1). Ἂς προστεθῇ εἰς ἑκάστην ἐκ τούτων ἡ κοινὴ ΚΘΗ· ἄρα αἱ ΖΚΘ, ΚΘΗ εἶναι ἴσαι πρὸς τὰς ΚΘΗ, ΗΘΜ. Ἀλλὰ αἱ ΖΚΘ, ΚΘΗ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 29)· ἄρα καὶ αἱ ΚΘΗ, ΗΘΜ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (κ. ἔν. 2). Ἔχουν δὲ ἔκ τινος εὐθείας τῆς ΗΘ καὶ ἐκ τοῦ ἐπ' αὐτῆς σημείου τοῦ Θ ἀχθῇ δύο εὐθεῖαι, αἱ ΚΘ, ΘΜ μὴ κείμεναι ἐπὶ τὰ αὐτὰ μέρη τῆς εὐθείας, αἱ ὁποῖαι σχηματίζουν τὰς ἐφεξῆς γωνίας ἴσας πρὸς δύο ὀρθάς· ἄρα ἡ ΚΘ καὶ ΘΜ κεῖνται ἐπ' εὐθείας (θεώρ. 14)· καὶ ἐπειδὴ αἱ παράλληλοι ΚΜ, ΖΗ τέμνονται ὑπὸ τῆς ΘΗ, αἱ ἐναλλὰξ γωνίαι αἱ ΜΘΗ, ΘΗΖ εἶναι ἴσαι μεταξύ των (θεώρ. 29). Ἂς προστεθῇ εἰς ἑκάστην τούτων ἡ κοινὴ ΘΗΛ· ἄρα αἱ ΜΘΗ, ΘΗΛ εἶναι ἴσαι πρὸς τὰς ΘΗΖ, ΘΗΛ (κ. ἔνν. 2). Ἀλλὰ αἱ ΜΘΗ, ΘΗΛ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (θεώρ. 29)· ἄρα καὶ αἱ ΘΗΖ, ΘΗΛ εἶναι ἴσαι πρὸς δύο ὀρθάς (κ. ἔν. 1)· ἄρα αἱ ΖΗ, ΗΛ κεῖνται ἐπ' εὐθείας (θεώρ. 14). Καὶ ἐπειδὴ ἡ ΖΚ εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΘΗ (θεώρ. 34), ἀλλὰ καὶ ἡ ΘΗ πρὸς τὴν ΜΛ, ἕπεται, ὅτι ἡ ΚΖ εἶναι ἴση καὶ παράλληλος πρὸς τὴν ΜΛ· καὶ συνδέουν αὐτὰς αἱ εὐθεῖαι ΚΜ, ΖΛ· ἄρα καὶ αἱ ΚΜ, ΖΛ εἶναι ἴσαι καὶ παράλληλοι (κ. ἔν. 11, θεώρ. 30)· ἄρα τὸ ΚΖΛΜ εἶναι παραλληλόγραμμον. Καὶ ἐπειδὴ τὸ μὲν τρίγωνον ΑΒΔ εἶναι ἴσον πρὸς τὸ παραλληλόγραμμον ΖΘ, τὸ δὲ ΔΒΓ πρὸς τὸ ΗΜ, ἕπεται, ὅτι ὅλον τὸ εὐθύγραμμον ΑΒΓΔ εἶναι ἴσον πρὸς ὅλον τὸ παραλληλόγραμμον ΚΖΛΜ (κ. ἔν. 2).

Ἄρα κατεσκευάσθη πρὸς τὸ δοθὲν εὐθύγραμμον ΑΒΓΔ ἴσον παραλληλόγραμμον τὸ ΚΖΛΜ ὑπὸ τὴν γωνίαν ΖΚΜ, ἡ ὁποία εἶναι ἴση πρὸς τὴν δοθεῖσαν Ε· ὅπερ ἔδει ποιῆσαι.

46.

Ἐπὶ δοθείσης εὐθείας ν' ἀναγραφῇ τετράγωνον.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ· πρέπει ἀπὸ τῆς εὐθείας ΑΒ ν' ἀναγραφῇ τετράγωνον.

Ἂς ἀχθῇ ἐκ τοῦ σημείου Α τῆς εὐθείας ΑΒ ἡ ΑΓ κάθετος ἐπ' αὐτήν (θεώρ. 11), καὶ ἂς ληφθῇ ἡ ΑΔ ἴση πρὸς τὴν ΑΒ (θεώρ. 2)· καὶ διὰ μὲν τοῦ σημείου Δ ἂς ἀχθῇ ἡ ΔΕ παράλληλος πρὸς τὴν ΑΒ, διὰ δὲ τοῦ σημείου Β ἡ ΒΕ παράλληλος πρὸς τὴν ΑΔ (θεώρ. 31). Ἄρα τὸ ΑΔΕΒ εἶναι παραλληλόγραμμον· ἄρα ἡ μὲν ΑΒ εἶναι ἴση πρὸς τὴν ΔΕ, ἡ δὲ ΑΔ πρὸς τὴν ΒΕ (θεώρ. 34). Ἀλλὰ ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΑΔ· ἄρα αἱ τέσσαρες εὐθεῖαι ΒΑ, ΑΔ, ΔΕ, ΕΒ εἶναι ἴσαι μεταξύ των (κ. ἔν. 1)· ἄρα τὸ παραληλλόγραμμον ΑΔΕΒ εἶναι ἰσόπλευρον. Λέγω, ὅτι εἶναι καὶ ὀρθογώνιον. Διότι, ἐπειδὴ αἱ παράλληλοι ΑΒ, ΔΕ τέμνονται

εὐθεῖα ἐνέπεσεν ἡ ΑΔ, αἱ ἄρα ὑπὸ ΒΑΔ, ΑΔΕ γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν. ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΔΕ. τῶν δὲ παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὀρθὴ ἄρα καὶ ἑκατέρα τῶν ἀπεναντίον τῶν ὑπὸ ΑΒΕ, ΒΕΔ γωνιῶν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΔΕΒ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.


Τετράγωνον ἄρα ἐστίν· καὶ ἔστιν ἀπὸ τῆς ΑΒ εὐθείας ἀναγεγραμμένον· ὅπερ ἔδει ποιῆσαι.

μζ'.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὴν ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν· λέγω, ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΑΔΕ ἐφαπτέσθωσαν ἀλλήλων ἐκτὸς κατὰ τὸ Α σημεῖον, καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓ κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς κατὰ τὸ Α ἐπαφῆς ἐλεύσεται.



Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἐρχέσθω ὡς ἡ ΖΓΔΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΑΗ.

Ἐπεὶ οὖν τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΖΑ τῇ ΖΓ. πάλιν, ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΔΕ κύκλου, ἴση ἐστὶν ἡ ΗΑ τῇ ΗΔ. ἐδείχθη δὲ καὶ ἡ ΖΑ τῇ ΖΓ ἴση· αἱ ἄρα ΖΑ, ΑΗ ταῖς ΖΓ, ΗΔ ἴσαι εἰσίν· ὥστε ὅλη ἡ ΖΗ τῶν ΖΑ, ΑΗ μείζων ἐστίν· ἀλλὰ καὶ ἐλάττων, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Η ἐπιζευγνυμένη εὐθεῖα διὰ τῆς κατὰ τὸ Α ἐπαφῆς οὐκ ἐλεύσεται· δι' αὐτῆς ἄρα.

11.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται μεταξύ των ἐντὸς καὶ ληφθοῦν τὰ κέντρα αὐτῶν, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ κέντρα αὐτῶν προεκτεινομένη θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς τῶν κύκλων.

Διότι, ἄς ἐφάπτωνται μεταξύ των ἐντὸς οἱ δύο κύκλοι ΑΒΓ, ΑΔΕ κατὰ τὸ σημεῖον Α, καὶ ἄς ληφθῇ τοῦ μὲν κύκλου ΑΒΓ κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η (III. 1)· λέγω, ὅτι ἡ ἐκ τοῦ Η πρὸς τὸ Ζ ἀγομένη εὐθεῖα προεκβαλλομένη θὰ διέλθῃ διὰ τοῦ Α.

Διότι ἔστω, ὅτι δὲν διέρχεται, ἀλλ' ἐὰν εἶναι δυνατόν, ἄς κεῖται, ὅπως ἡ ΖΗΘ, καὶ ἄς ἀχθοῦν αἱ ΑΖ, ΑΗ.

Ἐπειδὴ λοιπὸν αἱ ΑΗ, ΗΖ εἶναι μεγαλύτεραι τῆς ΖΑ (I. 20), δηλ. τῆς ΖΘ, ἄς ἀφαιρεθῇ ἀπὸ ταύτας ἡ κοινὴ ΖΗ· ἄρα, ἡ ὑπόλοιπος ΑΗ θὰ εἶναι μεγαλυτέρα τῆς ὑπολοίπου ΗΘ. Εἶναι δὲ ἴση ἡ ΑΗ πρὸς τὴν ΗΔ· ἄρα καὶ ἡ ΗΔ εἶναι μεγαλυτέρα τῆς ΗΘ, δηλ. ἡ μικροτέρα ἀπὸ τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον· ἄρα ἡ εὐθεῖα ἡ ἑνοῦσα τὸ Ζ μὲ τὸ Η δὲν θὰ πέσῃ ἐκτός· ἄρα θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς Α.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται μεταξύ των ἐντός [καὶ ληφθοῦν τὰ κέντρα αὐτῶν], ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ κέντρα [καὶ προεκβαλλομένη] θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς τῶν κύκλων· ὅπερ ἔδει δεῖξαι.

12.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται μεταξύ των ἐκτός, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ κέντρα αὐτῶν θὰ διέρχεται διὰ τοῦ σημείου ἐπαφῆς.

Διότι, ἄς ἐφάπτωνται μεταξύ των ἐκτὸς κατὰ τὸ σημεῖον Α οἱ κύκλοι ΑΒΓ, ΑΔΕ, καὶ ἄς ληφθῇ τοῦ μὲν κύκλου ΑΒΓ κέντρον τὸ Ζ, τοῦ δὲ ΑΔΕ τὸ Η (III 1)· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Ζ πρὸς τὸ Η εὐθεῖα θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς.

Διότι, ἔστω ὅτι δὲν θὰ διέλθῃ, ἀλλ' ἐὰν εἶναι δυνατόν, ἄς ἀκολουθῇ τὴν διαδρομὴν ΖΓΔΗ καὶ ἄς ἀχθοῦν αἱ εὐθεῖαι ΑΖ, ΑΗ.

Ἐπειδὴ λοιπὸν τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ, ἡ ΖΑ εἶναι ἴση πρὸς τὴν ΖΓ. Πάλιν, ἐπειδὴ τὸ σημεῖον Η εἶναι κέντρον τοῦ κύκλου ΑΔΕ, ἡ ΗΑ εἶναι ἴση πρὸς τὴν ΗΔ. Ἐδείχθη δὲ καὶ ἡ ΖΑ ἴση πρὸς τὴν ΖΓ· ἄρα αἱ ΖΑ, ΑΗ εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς ΖΓ, ΗΔ· ὥστε ὁλόκληρος ἡ ΖΗ εἶναι μεγαλυτέρα τῶν ΖΑ, ΑΗ· αὐτὴ ὅμως εἶναι καὶ μικροτέρα (I.20)· ὅπερ ἀδύνατον. Ὄχι ἄρα ἡ ἀπὸ τοῦ Ζ εἰς τὸ Η ἀγομένη εὐθεῖα δὲν θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς Α· ἄρα θὰ διέλθῃ.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων ἐκτός, ἡ ἐπὶ τὰ κέντρα αὐτῶν ἐπιζευγνυμένη [εὐθεῖα] διὰ τῆς ἐπαφῆς ἐλεύσεται· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Κύκλος κύκλου οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ καθ' ἕν, ἐάν τε ἐντὸς ἐάν τε ἐκτὸς ἐφάπτηται.


Εἰ γὰρ δυνατόν, κύκλος ὁ ΑΒΓΔ κύκλου τοῦ ΕΒΖΔ ἐφαπτέσθω πρότερον ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἓν τὰ Δ, Β.

Καὶ εἰλήφθω τοῦ μὲν ΑΒΓΔ κύκλου κέντρον τὸ Η, τοῦ δὲ ΕΒΖΔ τὸ Θ.

Ἡ ἄρα ἀπὸ τοῦ Η ἐπὶ τὸ Θ ἐπιζευγνυμένη ἐπὶ τὰ Β, Δ πεσεῖται. πιπτέτω ὡς ἡ ΒΗΘΔ καὶ ἐπεὶ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου, ἴση ἐστὶν ἡ ΒΗ τῇ ΗΔ· μείζων ἄρα ἡ ΒΗ τῆς ΘΔ· πολλῷ ἄρα μείζων ἡ ΒΘ τῆς ΘΔ. πάλιν, ἐπεὶ τὸ Θ σημεῖον κέντρον ἐστὶ τοῦ ΕΒΖΔ κύκλου, ἴση ἐστὶν ἡ ΒΘ τῇ ΔΘ· ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων· ὅπερ ἀδύνατον· οὐκ ἄρα κύκλος κύκλου ἐφάπτεται ἐντὸς κατὰ πλείονα σημεῖα ἢ ἕν.

Λέγω δή, ὅτι οὐδὲ ἐκτός.

Εἰ γὰρ δυνατόν, κύκλος ὁ ΑΓΚ κύκλου τοῦ ΑΒΓΔ ἐφαπτέσθω ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἓν τὰ Α, Γ, καὶ ἐπεζεύχθω ἡ ΑΓ.



Ἐπεὶ οὖν κύκλων τῶν ΑΒΓΔ, ΑΓΚ εἴληπται ἐπὶ τῆς περιφερείας ἑκατέρου δύο τυχόντα σημεῖα τὰ Α, Γ, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς ἑκατέρου πεσεῖται· ἀλλὰ τοῦ μὲν ΑΒΓΔ ἐντὸς ἔπεσεν, τοῦ δὲ ΑΓΚ ἐκτός· ὅπερ ἄτοπον· οὐκ ἄρα κύκλος κύκλου ἐφάπτεται ἐκτὸς κατὰ πλείονα σημεῖα ἢ ἕν. ἐδείχθη δέ, ὅτι οὐδὲ ἐντός.

Κύκλος ἄρα κύκλου οὐκ ἐφάπτεται κατὰ πλείονα σημεῖα ἢ [καθ'] ἕν, ἐάν τε ἐντὸς ἐάν τε ἐκτὸς ἐφάπτηται· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Ἐν κύκλῳ αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΑΒ, ΓΔ· λέγω, ὅτι αἱ ΑΒ, ΓΔ ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓΔ κύκλου καὶ ἔστω τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὰς ΑΒ, ΓΔ κάθετοι ἤχθωσαν αἱ ΕΖ, ΕΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΕΓ.

Ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΒ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει. ἴση ἄρα ἡ ΑΖ τῇ

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται μεταξύ των ἐκτός, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ κέντρα αὐτῶν θὰ διέλθῃ διὰ τοῦ σημείου ἐπαφῆς· ὅπερ ἔδει δεῖξαι.

13.

Κύκλος δὲν ἐφάπτεται κύκλου εἰς περισσότερα σημεῖα ἢ ἕν, εἴτε ἐντὸς εἴτε ἐκτὸς ἐφάπτεται.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς ἐφάπτεται ὁ κύκλος ΑΒΓΔ πρῶτον τοῦ ἐντὸς αὐτοῦ κύκλου ΕΒΖΔ, εἰς περισσότερα σημεῖα ἢ ἕν, τὰ Δ, Β.

Καὶ ἂς ληφθῇ τοῦ μὲν κύκλου ΑΒΓΔ κέντρον τὸ Η, τοῦ δὲ ΕΒΖΔ τὸ Θ·

Ἡ ἀγομένη ἄρα ἀπὸ τὸ Η πρὸς τὸ Θ θὰ διέλθῃ διὰ τῶν σημείων Β, Δ (III. 11). Ἂς εἶναι δὲ αὕτη, ὡς ἡ ΒΗΘΔ. Καὶ ἐπειδὴ τὸ σημεῖον Η εἶναι κέντρον τοῦ κύκλου ΑΒΓΔ, ἡ ΒΗ εἶναι ἴση πρὸς τὴν ΗΔ· ἄρα ἡ ΒΗ εἶναι μεγαλυτέρα τῆς ΘΔ· ἄρα, κατὰ μείζονα λόγον ἡ ΒΘ εἶναι μεγαλυτέρα τῆς ΘΔ. Πάλιν ἐπειδὴ τὸ σημεῖον Θ εἶναι κέντρον τοῦ κύκλου ΕΒΖΔ, ἡ ΒΘ εἶναι ἴση πρὸς τὴν ΘΔ· ἐδείχθη δέ, ὅτι εἶναι καὶ πολὺ μεγαλυτέρα αὐτῆς· ὅπερ ἀδύνατον· ἄρα κύκλος δὲν ἐφάπτεται ἄλλου κύκλου ἐντός, εἰς περισσότερα σημεῖα ἢ ἕν.

Λέγω ἐπίσης, ὅτι τὸ αὐτὸ συμβαίνει, ὅταν οἱ κύκλοι ἐφάπτωνται ἐκτός.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς ἐφάπτεται ἐκτὸς ὁ κύκλος ΑΓΚ τοῦ κύκλου ΑΒΓΔ εἰς περισσότερα ἢ ἓν σημεῖα, τὰ Α, Γ, καὶ ἂς ἀχθῇ ἡ ΑΓ. Ἐπειδὴ λοιπὸν ἔχουν ληφθῇ ἐπὶ τῆς περιφερείας ἑκάστου τῶν κύκλων ΑΒΓΔ, ΑΓΚ δύο τυχόντα σημεῖα τὰ Α, Γ, ἡ εὐθεῖα ἡ ἑνοῦσα τὰ σημεῖα ταῦτα θὰ πέσῃ ἐντὸς ἑκάστου τῶν κύκλων τούτων (III. 2)· ἀλλὰ εἰς μὲν τὸν κύκλον ΑΒΓΔ ἔπεσεν ἐντός, εἰς δὲ τὸν κύκλον ΑΓΚ ἔπεσεν ἐκτός (ὁρ. III. 3)· ὅπερ ἄτοπον· ἄρα κύκλος δὲν ἐφάπτεται ἄλλου κύκλου ἐκτὸς εἰς περισσότερα σημεῖα ἢ ἕν. Ἐδείχθη δέ, ὅτι οὐδὲ ἐντός.

Κύκλος ἄρα δὲν ἐφάπτεται κύκλου εἰς περισσότερα σημεῖα ἢ ἕν, εἴτε ἐντὸς ἐφάπτεται εἴτε ἐκτός· ὅπερ ἔδει δεῖξαι.


14.

Εἰς κύκλον αἱ ἴσαι εὐθεῖαι ἀπέχουν ἴσον ἀπὸ τοῦ κέντρου καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου εἶναι μεταξύ των ἴσαι.

Ἔστω ὁ κύκλος ΑΒΓΔ καὶ ἐντὸς αὐτοῦ ἔστωσαν αἱ ἴσαι εὐθεῖαι ΑΒ, ΓΔ. λέγω, ὅτι αἱ ΑΒ, ΓΔ ἀπέχουν ἴσον ἀπὸ τοῦ κέντρου.

Διότι, ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓΔ (III.1) καὶ ἔστω τοῦτο τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἂς ἀχθοῦν αἱ ΕΖ, ΕΗ κάθετοι ἐπὶ τὰς ΑΒ, ΓΔ, καὶ ἂς ἀχθοῦν αἱ ΑΕ, ΕΓ.

Ἐπειδὴ λοιπὸν εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου ἡ ΕΖ, τέμνει καθέτως εὐθεῖάν τινα μὴ διερχομένην διὰ τοῦ κέντρου τὴν ΑΒ, τέμνει αὐτὴν καὶ εἰς τὸ μέσον (III. 3). Ἄρα ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΒ· ἄρα ἡ ΑΒ εἶναι διπλασία



ΖΒ· διπλῆ ἄρα ἡ ΑΒ τῆς ΑΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΔ τῆς ΓΗ ἐστι διπλῆ· καὶ ἔστιν ἴση ἡ ΑΒ τῇ ΓΔ· ἴση ἄρα καὶ ἡ ΑΖ τῇ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴσον καὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΕΓ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα τὰ ἀπὸ τῶν ΑΖ, ΕΖ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Ζ γωνία· τῷ δὲ ἀπὸ τῆς ΕΓ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Η γωνία· τὰ ἄρα ἀπὸ τῶν ΑΖ, ΖΕ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΕ, ὧν τὸ ἀπὸ τῆς ΑΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΗ· ἴση γάρ ἐστιν ἡ ΑΖ τῇ ΓΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΖΕ τῷ ἀπὸ τῆς ΕΗ ἴσον ἐστίν· ἴση ἄρα ἡ ΕΖ τῇ ΕΗ. ἐν δὲ κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθεῖαι λέγονται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου.

Ἀλλὰ δὴ αἱ ΑΒ, ΓΔ εὐθεῖαι ἴσον ἀπεχέτωσαν ἀπὸ τοῦ κέντρου, τουτέστιν ἴση ἔστω ἡ ΕΖ τῇ ΕΗ. λέγω, ὅτι ἴση ἐστὶ καὶ ἡ ΑΒ τῇ ΓΔ.


Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ μὲν ΑΒ τῆς ΑΖ, ἡ δὲ ΓΔ τῆς ΓΗ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΓΕ, ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ τῆς ΓΕ· ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΕ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΖ, ΖΑ, τῷ δὲ ἀπὸ τῆς ΓΕ ἴσα τὰ ἀπὸ τῶν ΕΗ, ΗΓ. τὰ ἄρα ἀπὸ τῶν ΕΖ, ΖΑ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΕΗ, ΗΓ· ὧν τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΕΗ ἐστιν ἴσον· ἴση γὰρ ἡ ΕΖ τῇ ΕΗ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΑΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΗ· ἴση ἄρα ἡ ΑΖ τῇ ΓΗ· καὶ ἔστι τῆς μὲν ΑΖ διπλῆ ἡ ΑΒ, τῆς δὲ ΓΗ διπλῆ ἡ ΓΔ· ἴση ἄρα ἡ ΑΒ τῇ ΓΔ.

Ἐν κύκλῳ ἄρα αἱ ἴσαι εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ κέντρου, καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου ἴσαι ἀλλήλαις εἰσίν· ὅπερ ἔδει δεῖξαι.

ιε'.

Ἐν κύκλῳ μεγίστη μὲν ἡ διάμετρος τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, κέντρον δὲ τὸ Ε, καὶ ἔγγιον μὲν τῆς ΑΔ διαμέτρου ἔστω ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ· λέγω, ὅτι μεγίστη μέν ἐστιν ἡ ΑΔ, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.



Ἤχθωσαν γὰρ ἀπὸ τοῦ Ε κέντρου ἐπὶ τὰς ΒΓ, ΖΗ κάθετοι αἱ ΕΘ, ΕΚ. καὶ ἐπεὶ ἔγγιον μὲν τοῦ κέντρου ἐστὶν ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ, μείζων ἄρα ἡ ΕΚ τῆς ΕΘ. κείσθω τῇ ΕΘ ἴση ἡ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΕΚ πρὸς ὀρθὰς ἀχθεῖσα ἡ ΛΜ διήχθω ἐπὶ τὸ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΜΕ, ΕΝ, ΖΕ, ΕΗ.

τῆς ΑΖ. Διὰ τὸν αὐτὸν λόγον ἡ ΓΔ εἶναι διπλασία τῆς ΓΗ· καὶ εἶναι ἴση ἡ ΑΒ πρὸς τὴν ΓΔ· ἄρα καὶ ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΓΗ. Καὶ ἐπειδὴ ἡ ΑΕ εἶναι ἴση πρὸς τὴν ΕΓ, τὸ τετράγωνον τῆς ΑΕ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΕΓ. Ἀλλὰ πρὸς μὲν τὸ τετράγωνον τῆς ΑΕ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΑΖ, ΕΖ (Ι.47)· διότι ἡ πρὸς τὸ Ζ γωνία εἶναι ὀρθή· πρὸς δὲ τὸ τετράγωνον τῆς ΕΓ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΕΗ, ΗΓ· διότι ἡ πρὸς τὸ Η γωνία εἶναι ὀρθή· ἄρα τὰ τετράγωνα τῶν ΑΖ, ΖΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΓΗ, ΗΕ, ἐκ τῶν ὁποίων τὸ τετράγωνον τῆς ΑΖ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΗ· διότι ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΓΗ· ἄρα τὸ ὑπόλοιπον τετράγωνον τὸ τῆς ΖΕ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΕΗ ἄρα ἡ ΕΖ εἶναι ἴση πρὸς τὴν ΕΗ. Εἰς κύκλον δὲ λέγονται εὐθεῖαι ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἀγόμεναι κάθετοι ἐπ' αὐτὰς εἶναι ἴσαι (ὁρ. ΙΙΙ. 4)· ἄρα αἱ ΑΒ, ΓΔ ἀπέχουν ἴσον ἀπὸ τοῦ κέντρου.

Ἀλλ' ἂς ἀπέχουν τώρα ἴσον ἀπὸ τοῦ κέντρου αἱ εὐθεῖαι ΑΒ, ΓΔ, ἤτοι ἡ ΕΖ νὰ εἶναι ἴση πρὸς τὴν ΕΗ. Λέγω, ὅτι καὶ ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ.

Διότι, ἐὰν γίνῃ ἡ αὐτὴ κατασκευή, ἀποδεικνύομεν καθ' ὅμοιον τρόπον, ὅτι ἡ μὲν ΑΒ εἶναι διπλασία τῆς ΑΖ, ἡ δὲ ΓΔ διπλασία τῆς ΓΗ· καὶ ἐπειδὴ ἡ ΑΕ εἶναι ἴση πρὸς τὴν ΓΕ, τὸ τετράγωνον τῆς ΑΕ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΕ· ἀλλὰ πρὸς μὲν τὸ τετράγωνον τῆς ΑΕ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΕΖ, ΖΑ (Ι.47), πρὸς δὲ τὸ τετράγωνον τῆς ΓΕ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΕΗ, ΗΓ. Ἄρα τὰ τετράγωνα τῶν ΕΖ, ΖΑ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΕΗ, ΗΓ· ἐξ ὧν τὸ τετράγωνον τῆς ΕΖ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΕΗ· διότι ἡ ΕΖ εἶναι ἴση πρὸς τὴν ΕΗ· ἄρα καὶ τὸ ἀπομένον τετράγωνον τῆς ΑΖ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΗ· ἄρα ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΓΗ· καὶ εἶναι τῆς μὲν ΑΖ διπλασία ἡ ΑΒ, τῆς δὲ ΓΗ διπλασία ἡ ΓΔ· ἄρα ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ.

Εἰς κύκλον ἄρα αἱ ἴσαι εὐθεῖαι ἀπέχουν ἴσον ἀπὸ τοῦ κέντρου καὶ αἱ ἴσον ἀπέχουσαι ἀπὸ τοῦ κέντρου εἶναι μεταξύ των ἴσαι· ὅπερ ἔδει δεῖξαι.

15.

Εἰς κύκλον μεγίστη μὲν εὐθεῖα εἶναι ἡ διάμετρος, ἐκ δὲ τῶν ἄλλων πάντοτε ἡ πλησιέστερον πρὸς τὸ κέντρον εἶναι μεγαλυτέρα τῆς ἀπώτερον τούτου.

Ἔστω ὁ κύκλος ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, κέντρον δὲ τὸ Ε, καὶ πλησιέστερον μὲν τῆς διαμέτρου ΑΔ ἔστω ἡ ΒΓ, ἀπώτερον δὲ ἡ ΖΗ· λέγω, ὅτι μεγίστη μὲν εἶναι ἡ ΑΔ, μεγαλυτέρα δὲ ἡ ΒΓ τῆς ΖΗ.

Διότι, ἂς ἀχθοῦν ἀπὸ τοῦ κέντρου Ε ἐπὶ τὰς ΒΓ, ΖΗ, αἱ κάθετοι ΕΘ, ΕΚ· Καὶ ἐπειδὴ ἡ ΒΓ εἶναι πλησιέστερον πρὸς τὸ κέντρον, ἀπώτερον δὲ ἡ ΖΗ, ἕπεται, ὅτι ἡ ΕΚ εἶναι μεγαλυτέρα τῆς ΕΘ (ὁρ. ΙΙΙ. 5). Ἂς ληφθῇ ἡ ΕΛ ἴση πρὸς τὴν ΕΘ καὶ διὰ τοῦ Λ ἀφοῦ ἀχθῇ ἡ κάθετος ΛΜ ἐπὶ τὴν ΕΚ ἂς προεκταθῇ αὕτη μέχρι τοῦ Ν, καὶ ἂς ἀχθοῦν αἱ ΜΕ, ΕΝ, ΖΕ, ΕΗ.


Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΘ τῇ ΕΛ, ἴση ἐστὶ καὶ ἡ ΒΓ τῇ ΜΝ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΜ, ἡ δὲ ΕΔ τῇ ΕΝ, ἡ ἄρα ΑΔ ταῖς ΜΕ, ΕΝ ἴση ἐστίν. ἀλλ' αἱ μὲν ΜΕ, ΕΝ τῆς ΜΝ μείζονές εἰσιν [καὶ ἡ ΑΔ τῆς ΜΝ μείζων ἐστίν], ἴση δὲ ἡ ΜΝ τῇ ΒΓ· ἡ ΑΔ ἄρα τῆς ΒΓ μείζων ἐστίν. καὶ ἐπεὶ δύο αἱ ΜΕ, ΕΝ δύο ταῖς ΖΕ, ΕΗ ἴσαι εἰσίν, καὶ γωνία ἡ ὑπὸ ΜΕΝ γωνίας τῆς ὑπὸ ΖΕΗ μείζων [ἐστίν], βάσις ἄρα ἡ ΜΝ βάσεως τῆς ΖΗ μείζων ἐστίν. ἀλλὰ ἡ ΜΝ τῇ ΒΓ ἐδείχθη ἴση [καὶ ἡ ΒΓ τῆς ΖΗ μείζων ἐστίν]. μεγίστη μὲν ἄρα ἡ ΑΔ διάμετρος, μείζων δὲ ἡ ΒΓ τῆς ΖΗ.

Ἐν κύκλῳ ἄρα μεγίστη μέν ἐστιν ἡ διάμετρος, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ις'.

Ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου, καὶ εἰς τὸν μεταξὺ τόπον τῆς τε εὐθείας καὶ τῆς περιφερείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται, καὶ ἡ μὲν τοῦ ἡμικυκλίου γωνία ἁπάσης γωνίας ὀξείας εὐθυγράμμου μείζων ἐστίν, ἡ δὲ λοιπὴ ἐλάττων.

Ἔστω κύκλος ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ καὶ διάμετρον τὴν ΑΒ· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Α τῇ ΑΒ πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐκτὸς πεσεῖται τοῦ κύκλου.



Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ἐντὸς ὡς ἡ ΓΑ, καὶ ἐπεζεύχθω ἡ ΔΓ.

Ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΔΓ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΑΓΔ. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΑΓ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΓΔ· τριγώνου δὴ τοῦ ΑΓΔ αἱ δύο γωνίαι αἱ ὑπὸ ΔΑΓ, ΑΓΔ δύο ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ Α σημείου τῇ ΒΑ πρὸς ὀρθὰς ἀγομένη ἐντὸς πεσεῖται τοῦ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἐπὶ τῆς περιφερείας· ἐκτὸς ἄρα.

Πιπτέτω ὡς ἡ ΑΕ· λέγω δή, ὅτι εἰς τὸν μεταξὺ τόπον τῆς τε ΑΕ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

Εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ὡς ἡ ΖΑ, καὶ ἤχθω ἀπὸ τοῦ Δ σημείου ἐπὶ τὴν ΖΑ κάθετος ἡ ΔΗ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΗΔ, ἐλάττων δὲ ὀρθῆς ἡ ὑπὸ ΔΑΗ, μείζων ἄρα ἡ ΑΔ τῆς ΔΗ. ἴση δὲ ἡ ΔΑ τῇ ΔΘ· μείζων ἄρα ἡ ΔΘ τῆς ΔΗ, ἡ ἐλάττων τῆς μείζονος· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε εὐθείας καὶ τῆς περιφερείας ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

Λέγω ὅτι καὶ ἡ μὲν τοῦ ἡμικυκλίου γωνία ἡ περιεχομένη ὑπό τε τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ἁπάσης γωνίας ὀξείας εὐθυγράμμου μείζων ἐστίν, ἡ δὲ λοιπὴ ἡ περιεχομένη ὑπό τε τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας ἁπάσης γωνίας ὀξείας εὐθυγράμμου ἐλάττων ἐστίν.

Καὶ ἐπειδὴ ἡ ΕΘ εἶναι ἴση πρὸς τὴν ΕΛ, εἶναι ἴση καὶ ἡ ΒΓ πρὸς τὴν ΜΝ (III. 14). Πάλιν, ἐπειδὴ ἡ μὲν ΑΕ εἶναι ἴση πρὸς τὴν ΕΜ, ἡ δὲ ΕΔ πρὸς τὴν ΕΝ, ἕπεται, ὅτι ἡ ΑΔ εἶναι ἴση πρὸς τὰς ΜΕ, ΕΝ. Ἀλλ' αἱ μὲν ΜΕ, ΕΝ εἶναι μεγαλύτεραι τῆς ΜΝ (I.20) [καὶ ἡ ΑΔ εἶναι μεγαλυτέρα τῆς ΔΝ], εἶναι δὲ ἴση ἡ ΜΝ πρὸς τὴν ΒΓ· ἄρα ἡ ΑΔ εἶναι μεγαλυτέρα τῆς ΒΓ. Καὶ ἐπειδὴ αἱ δύο πλευραὶ ΜΕ, ΕΝ εἶναι ἴσαι πρὸς τὰς δύο ΖΕ, ΕΗ, καὶ ἡ γωνία ΜΕΝ εἶναι μεγαλυτέρα τῆς γωνίας ΖΕΗ, ἕπεται, ὅτι ἡ βάσις ΜΝ εἶναι μεγαλυτέρα τῆς βάσεως ΖΗ (I.24). Ἀλλὰ ἡ ΜΝ ἐδείχθη ἴση πρὸς τὴν ΒΓ [καὶ ἡ ΒΓ εἶναι μεγαλυτέρα τῆς ΖΗ]. Ἄρα μεγίστη μὲν εἶναι ἡ διάμετρος, μεγαλυτέρα δὲ ἡ ΒΓ τῆς ΖΗ.

Εἰς κύκλον ἄρα μεγίστη μὲν εὐθεῖα εἶναι ἡ διάμετρος, ἐκ δὲ τῶν ἄλλων, πάντοτε ἡ πλησιέστερον πρὸς τὸ κέντρον εἶναι μεγαλυτέρα τῆς ἀπώτερον τούτου· ὅπερ ἔδει δεῖξαι.

16.

Ἡ κάθετος ἡ ἀγομένη εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου θὰ πέσῃ ἐκτὸς τοῦ κύκλου, καὶ εἰς τὸν τόπον τὸν μεταξὺ τῆς καθέτου καὶ τῆς περιφερείας δὲν δύναται νὰ παρεμπέσῃ ἄλλη εὐθεῖα, καὶ ἡ μὲν γωνία τοῦ ἡμικυκλίου εἶναι μεγαλυτέρα πάσης εὐθυγράμμου ὀξείας γωνίας, ἡ δὲ ὑπόλοιπος εἶναι μικροτέρα.

Ἔστω ὁ κύκλος ΑΒΓ περὶ κέντρον τὸ Δ καὶ διάμετρον τὴν ΑΒ· λέγω, ὅτι ἡ ἀπὸ τοῦ Α, τοῦ ἄκρου τῆς διαμέτρου, ἀγομένη κάθετος θὰ πέσῃ ἐκτὸς κύκλου.

Διότι, ἔστω ὅτι δὲν πίπτει ἐκτός, ἀλλ' ἐὰν εἶναι δυνατόν, ἂς πέσῃ ἐντὸς ὅπως ἡ ΓΑ καὶ ἂς ἀχθῇ ἡ ΔΓ.

Ἐπειδὴ ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΔΓ, ἡ γωνία ΔΑΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΑΓΔ (I. 5). Εἶναι δὲ ὀρθὴ ἡ γωνία ΔΑΓ· ἄρα καὶ ἡ ΑΓΔ εἶναι ὀρθή· εἶναι λοιπὸν τοῦ τριγώνου ΑΓΔ αἱ δύο γωνίαι, αἱ ΔΑΓ, ΑΓΔ ἴσαι μὲ δύο ὀρθάς· ὅπερ ἀδύνατον (I.17). Ἄρα ἡ ἀπὸ τοῦ σημείου Α ἀγομένη ἐπὶ τὴν ΒΑ κάθετος δὲν θὰ πέσῃ ἐντὸς τοῦ κύκλου. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὔτε ἐπὶ τῆς περιφερείας θὰ πέσῃ· ἄρα θὰ πέσῃ ἐκτός.

Ἂς πέσῃ αὕτη ὅπως ἡ ΑΕ· λέγω τώρα, ὅτι εἰς τὸν τόπον μεταξὺ τῆς εὐθείας ΑΕ καὶ τοῦ τόξου ΓΘΑ δὲν θὰ παρεμπέσῃ ἄλλη εὐθεῖα.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς παρεμπέσῃ ἄλλη, ὅπως ἡ ΖΑ καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Δ ἡ ΔΗ κάθετος ἐπὶ τὴν ΖΑ. Καὶ ἐπειδὴ ἡ γωνία ΑΗΔ εἶναι ὀρθή, μικροτέρα δὲ τῆς ὀρθῆς ἡ ΔΑΗ, ἕπεται, ὅτι ἡ ΑΔ εἶναι μεγαλυτέρα τῆς ΔΗ (I.19). Εἶναι δὲ ἴση ἡ ΔΑ πρὸς τὴν ΔΘ· ἄρα ἡ ΔΘ εἶναι μεγαλυτέρα τῆς ΔΗ, ἡ μικροτέρα τῆς μεγαλυτέρας· ὅπερ ἀδύνατον. Ἄρα εἰς τὸν τόπον μεταξὺ τῆς εὐθείας καὶ τοῦ τόξου δὲν θὰ παρεμπέσῃ ἄλλη εὐθεῖα.

Λέγω ἀκόμη, ὅτι ἡ μὲν γωνία τοῦ ἡμικυκλίου ἡ περιεχομένη ὑπὸ τῆς εὐθείας ΑΒ καὶ τοῦ τόξου ΓΘΑ εἶναι μεγαλυτέρα πάσης εὐθυγράμμου ὀξείας γωνίας, ἡ δὲ ὑπόλοιπος ἡ περιεχομένη ὑπὸ τοῦ τόξου ΓΘΑ καὶ τῆς εὐθείας ΑΕ εἶναι μικροτέρα πάσης εὐθυγράμμου ὀξείας γωνίας.

Εἰ γάρ ἐστί τις γωνία εὐθύγραμμος μείζων μὲν τῆς περιεχομένης ὑπό τε τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας, ἐλάττων δὲ τῆς περιεχομένης ὑπό τε τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας, εἰς τὸν μεταξὺ τόπον τῆς τε ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας εὐθεῖα παρεμπεσεῖται, ἥτις ποιήσει μείζονα μὲν τῆς περιεχομένης ὑπό τε τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ὑπὸ εὐθειῶν περιεχομένην, ἐλάττονα δὲ τῆς περιεχομένης ὑπό τε τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας. οὐ παρεμπίπτει δέ· οὐκ ἄρα τῆς περιεχομένης γωνίας ὑπό τε τῆς ΒΑ εὐθείας καὶ τῆς ΓΘΑ περιφερείας ἔσται μείζων ὀξεῖα ὑπὸ εὐθειῶν περιεχομένη, οὐδὲ μὴν ἐλάττων τῆς περιεχομένης ὑπό τε τῆς ΓΘΑ περιφερείας καὶ τῆς ΑΕ εὐθείας.


Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐφάπτεται τοῦ κύκλου [καὶ ὅτι εὐθεῖα κύκλου καθ' ἓν μόνον ἐφάπτεται σημεῖον, ἐπειδήπερ καὶ ἡ κατὰ δύο αὐτῷ συμβάλλουσα ἐντὸς αὐτοῦ πίπτουσα ἐδείχθη]· ὅπερ ἔδει δεῖξαι.

ιζ'.

Ἀπὸ τοῦ δοθέντος σημείου τοῦ δοθέντος κύκλου ἐφαπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ὁ δὲ δοθεὶς κύκλος ὁ ΒΓΔ· δεῖ δὴ ἀπὸ τοῦ Α σημείου τοῦ ΒΓΔ κύκλου ἐφαπτομένην εὐθεῖαν γραμμὴν ἀγαγεῖν.



Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΑΕ, καὶ κέντρῳ μὲν τῷ Ε διαστήματι δὲ τῷ ΕΑ κύκλος γεγράφθω ὁ ΑΖΗ, καὶ ἀπὸ τοῦ Δ τῇ ΕΑ πρὸς ὀρθὰς ἤχθω ἡ ΔΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΑΒ· λέγω, ὅτι ἀπὸ τοῦ Α σημείου τοῦ ΒΓΔ κύκλου ἐφαπτομένη ἦκται ἡ ΑΒ.

Ἐπεὶ γὰρ τὸ Ε κέντρον ἐστὶ τῶν ΒΓΔ, ΑΖΗ κύκλων, ἴση ἄρα ἐστὶν ἡ μὲν ΕΑ τῇ ΕΖ, ἡ δὲ ΕΔ τῇ ΕΒ· δύο δὴ αἱ ΑΕ, ΕΒ δύο ταῖς ΖΕ, ΕΔ ἴσαι εἰσίν· καὶ γωνίαν κοινὴν περιέχουσι τὴν πρὸς τῷ Ε· βάσις ἄρα ἡ ΔΖ βάσει τῇ ΑΒ ἴση ἐστίν, καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΕΒΑ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις· ἴση ἄρα ἡ ὑπὸ ΕΔΖ τῇ ὑπὸ ΕΒΑ. ὀρθὴ δὲ ἡ ὑπὸ ΕΔΖ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΕΒΑ. καὶ ἔστιν ἡ ΕΒ ἐκ τοῦ κέντρου· ἡ δὲ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐφάπτεται τοῦ κύκλου· ἡ ΑΒ ἄρα ἐφάπτεται τοῦ ΒΓΔ κύκλου.

Ἀπὸ τοῦ ἄρα δοθέντος σημείου τοῦ Α τοῦ δοθέντος κύκλου τοῦ ΒΓΔ ἐφαπτομένη εὐθεῖα γραμμὴ ἦκται ἡ ΑΒ· ὅπερ ἔδει ποιῆσαι.

Διότι, ἐὰν ὑπάρχῃ γωνία τις εὐθύγραμμος μεγαλυτέρα μὲν τῆς περιεχομένης ὑπὸ τῆς εὐθείας ΒΑ καὶ τοῦ τόξου ΓΘΑ, μικροτέρα δὲ τῆς περιεχομένης ὑπὸ τοῦ τόξου ΓΘΑ καὶ τῆς εὐθείας ΑΕ, εἰς τὸν τόπον μεταξὺ τοῦ τόξου ΓΘΑ καὶ τῆς εὐθείας ΑΕ, θὰ παρεμπέσῃ εὐθεῖα, ἡ ὁποία θὰ σχηματίσῃ γωνίαν περιεχομένην ὑπὸ εὐθειῶν, μεγαλυτέραν μὲν τῆς περιεχομένης ὑπὸ τῆς εὐθείας ΒΑ καὶ τοῦ τόξου ΓΘΑ, μικροτέραν δὲ τῆς περιεχομένης ὑπὸ τοῦ τόξου ΓΘΑ καὶ τῆς εὐθείας ΑΕ. Ἀλλὰ δὲν παρεμπίπτει τοιαύτη εὐθεῖα (κατὰ τ' ἀνωτέρω)· ἄρα δὲν θὰ ὑπάρχῃ μεγαλυτέρα ὀξεῖα γωνία περιεχομένη ὑπὸ εὐθειῶν ἀπὸ τὴν περιεχομένην ὑπὸ τῆς εὐθείας ΒΑ καὶ τοῦ τόξου ΓΘΑ, οὐδὲ μικροτέρα τῆς περιεχομένης ὑπὸ τοῦ τόξου ΓΘΑ καὶ τῆς εὐθείας ΑΕ.

Πόρισμα.

Ἐκ τούτου λοιπὸν εἶναι φανερόν, ὅτι ἡ κάθετος εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου ἐφάπτεται τοῦ κύκλου [καὶ ὅτι εὐθεῖα ἐφάπτεται κύκλου μόνον εἰς ἓν σημεῖον, διότι ἐδείχθη, ὅτι ἡ ἔχουσα μετ' αὐτοῦ δυὸ κοινὰ σημεῖα πίπτει ἐντὸς αὐτοῦ]· ὅπερ ἔδει δεῖξαι.

17.

Ἀπὸ τοῦ δοθέντος σημείου τοῦ δοθέντος κύκλου ν' ἀχθῇ ἐφαπτομένη εὐθεῖα γραμμή.

Ἔστω τὸ μὲν δοθὲν σημεῖον τὸ Α, ὁ δὲ δοθεὶς κύκλος ὁ ΒΓΔ· πρέπει ἀπὸ τοῦ σημείου Α τοῦ κύκλου ΒΓΔ ν' ἀχθῇ ἐφαπτομένη εὐθεῖα γραμμή.

Διότι, ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου τὸ Ε καὶ ἂς ἀχθῇ ἡ ΑΕ, καὶ μὲ κέντρον μὲν τὸ Ε ἀκτῖνα δὲ τὴν ΕΑ ἂς γραφῇ ὁ κύκλος ΑΖΗ, καὶ ἀπὸ τοῦ Δ ἂς ἀχθῇ ἐπὶ τὴν ΕΑ κάθετος ἡ ΔΖ, καὶ ἂς ἀχθοῦν αἱ ΕΖ, ΑΒ· λέγω, ὅτι ἀπὸ τοῦ σημείου Α τοῦ κύκλου ΒΓΔ ἔχει ἀχθῆ ἐφαπτομένη ἡ ΑΒ.


Διότι, ἐπειδὴ τὸ Ε εἶναι κέντρον τῶν κύκλων ΒΓΔ, ΑΖΗ, ἕπεται, ὅτι ἡ μὲν ΕΑ εἶναι ἴση πρὸς τὴν ΕΖ, ἡ δὲ ΕΔ πρὸς τὴν ΕΒ· εἶναι λοιπὸν δύο εὐθεῖαι αἱ ΑΕ, ΕΒ ἴσαι ἀντιστοίχως πρὸς δύο τὰς ΖΕ, ΕΔ· καὶ περιέχουν αὗται τὴν κοινὴν γωνίαν Ε· ἄρα ἡ βάσις ΔΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΑΒ, καὶ τὸ τρίγωνον ΔΕΖ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΕΒΑ, καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ἑνὸς τριγώνου εἶναι ἴσαι πρὸς τὰς λοιπὰς τοῦ ἄλλου (I.4)· ἄρα ἡ γωνία ΕΔΖ εἶναι ἴση πρὸς τὴν ΕΒΑ. Εἶναι δὲ ὀρθὴ ἡ ΕΔΖ· ἄρα καὶ ἡ ΕΒΑ εἶναι ὀρθή. Καὶ ἡ ΕΒ ἔχει ἀχθῆ ἐκ τοῦ κέντρου· ἡ εὐθεῖα δὲ ἡ ἀγομένη κάθετος εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου ἐφάπτεται τοῦ κύκλου (III. 16 πόρ)· ἄρα ἡ ΑΒ ἐφάπτεται τοῦ κύκλου ΒΓΔ.

Ἀπὸ τοῦ δοθέντος ἄρα σημείου τοῦ δοθέντος κύκλου τοῦ ΒΓΔ ἔχει ἀχθῆ εὐθεῖα γραμμὴ ἐφαπτομένη ἡ ΑΒ· ὅπερ ἔδει ποιῆσαι.

ιη'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετος ἔσται ἐπὶ τὴν ἐφαπτομένην.

Κύκλου γὰρ τοῦ ΑΒΓ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΔΕ κατὰ τὸ Γ σημεῖον, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Γ ἐπεζεύχθω ἡ ΖΓ· λέγω, ὅτι ἡ ΖΓ κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ.



Εἰ γὰρ μή, ἤχθω ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΔΕ κάθετος ἡ ΖΗ.


Ἐπεὶ οὖν ἡ ὑπὸ ΖΗΓ γωνία ὀρθή ἐστιν, ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΗ· ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα ἡ ΖΓ τῆς ΖΗ· ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· μείζων ἄρα καὶ ἡ ΖΒ τῆς ΖΗ ἡ ἐλάττων τῆς μείζονος· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΖΗ κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλη τις πλὴν τῆς ΖΓ· ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπιζευχθῇ τις εὐθεῖα, ἡ ἐπιζευχθεῖσα κάθετος ἔσται ἐπὶ τὴν ἐφαπτομένην· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς [γωνίας] εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ τῆς ἀχθείσης ἔσται τὸ κέντρον τοῦ κύκλου.

Κύκλου γὰρ τοῦ ΑΒΓ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΔΕ κατὰ τὸ Γ σημεῖον, καὶ ἀπὸ τοῦ Γ τῇ ΔΕ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΑ· λέγω, ὅτι ἐπὶ τῆς ΑΓ ἐστι τὸ κέντρον τοῦ κύκλου.



Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΓΖ.

Ἐπεὶ [οὖν] κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΔΕ, ἀπὸ δὲ τοῦ κέντρου ἐπὶ τὴν ἁφὴν ἐπέζευκται ἡ ΖΓ, ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΔΕ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ· ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΓΕ ὀρθή· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΖΓΕ τῇ ὑπὸ ΑΓΕ ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ζ κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλο τι πλὴν ἐπὶ τῆς ΑΓ.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς εὐθεῖα γραμμὴ ἀχθῇ, ἐπὶ τῆς ἀχθείσης ἔσται τὸ κέντρον τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

18.

Ἐὰν εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τοῦ κέντρου ἀχθῇ εὐθεῖά τις, μέχρι τοῦ σημείου τῆς ἐπαφῆς, ἡ ἀχθεῖσα εὐθεῖα θὰ εἶναι κάθετος ἐπὶ τὴν ἐφαπτομένην.

Διότι, ἂς ἐφάπτεται τοῦ κύκλου ΑΒΓ εὐθεῖά τις ἡ ΔΕ κατὰ τὸ σημεῖον Γ, καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἂς ἀχθῇ εἰς τὸ Γ ἡ ΖΓ· λέγω, ὅτι ἡ ΖΓ εἶναι κάθετος ἐπὶ τὴν ΔΕ.

Διότι, ἐὰν δὲν εἶναι, ἂς ἀχθῇ ἀπὸ τοῦ Ζ κάθετος ἐπὶ τὴν ΔΕ ἡ ΖΗ.

Ἐπειδὴ λοιπὸν ἡ γωνία ΖΗΓ εἶναι ὀρθή, ἕπεται, ὅτι ἡ ΖΓΗ εἶναι ὀξεῖα (I.17)· κεῖται δὲ ἀπέναντι τῆς μεγαλυτέρας γωνίας ἡ μεγαλυτέρα πλευρά (I.19)· ἄρα ἡ ΖΓ εἶναι μεγαλυτέρα τῆς ΖΗ· εἶναι δὲ ἴση ἡ ΖΓ πρὸς τὴν ΖΒ· ἄρα καὶ ἡ ΖΒ εἶναι μεγαλυτέρα τῆς ΖΗ, ἡ μικροτέρα, τῆς μεγαλυτέρας· ὅπερ ἀδύνατον. Ἄρα ἡ ΖΗ δὲν εἶναι κάθετος ἐπὶ τὴν ΔΕ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι οὐδὲ ἄλλη τις ὑπάρχει πλὴν τῆς ΖΓ· ἄρα ἡ ΖΓ εἶναι κάθετος ἐπὶ τὴν ΔΕ.

Ἐὰν ἄρα εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τοῦ κέντρου ἀχθῇ εὐθεῖά τις μέχρι τοῦ σημείου τῆς ἐπαφῆς, ἡ ἀχθεῖσα εὐθεῖα θὰ εἶναι κάθετος ἐπὶ τὴν ἐφαπτομένην· ὅπερ ἔδει δεῖξαι.

19.

Ἐὰν εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τοῦ σημείου τῆς ἐπαφῆς ἀχθῇ εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὴν ἐφαπτομένην, τὸ κέντρον τοῦ κύκλου θὰ εἶναι ἐπὶ τῆς ἀχθείσης.

Διότι, ἂς ἐφάπτεται τοῦ κύκλου ΑΒΓ εὐθεῖά τις ἡ ΔΕ, κατὰ τὸ σημεῖον Γ, καὶ ἀπὸ τοῦ Γ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΔΕ ἡ ΓΑ· λέγω, ὅτι τὸ κέντρον τοῦ κύκλου θὰ εἶναι ἐπὶ τῆς ΑΓ.

Διότι ἔστω, ὅτι δὲν εἶναι, ἀλλ' ἐὰν εἶναι δυνατόν, ἔστω ὅτι εἶναι τὸ Ζ καὶ ἂς ἀχθῇ ἡ ΓΖ.

Ἐπειδὴ λοιπὸν τοῦ κύκλου ΑΒΓ ἐφάπτεται εὐθεῖά τις ἡ ΔΕ, ἀπὸ δὲ τοῦ κέντρου πρὸς τὸ σημεῖον τῆς ἐπαφῆς ἔχει ἀχθῇ ἡ ΖΓ, ἕπεται, ὅτι ἡ ΖΓ εἶναι κάθετος ἐπὶ τὴν ΔΕ (III. 18)· ἄρα ἡ γωνία ΖΓΕ εἶναι ὀρθή. Εἶναι δὲ καὶ ἡ ΑΓΕ ὀρθή· ἄρα ἡ γωνία ΖΓΕ εἶναι ἴση πρὸς τὴν ΑΓΕ, ἡ μικροτέρα πρὸς τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ἄρα τὸ Ζ δὲν εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ. Ὁμοίως ἀποδεικνύομεν, ὅτι οὐδ' ἄλλο τι ὑπάρχει, πλὴν ἐπὶ τῆς ΑΓ.

Ἐὰν ἄρα εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τοῦ σημείου τῆς ἐπαφῆς ἀχθῇ εὐθεῖα γραμμὴ κάθετος ἐπὶ τὴν ἐφαπτομένην, τὸ κέντρον τοῦ κύκλου θὰ εἶναι ἐπὶ τῆς ἀχθείσης· ὅπερ ἔδει δεῖξαι.


κ'.

Ἐν κύκλῳ ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ πρὸς μὲν τῷ κέντρῳ αὐτοῦ γωνία ἔστω ἡ ὑπὸ ΒΕΓ, πρὸς δὲ τῇ περιφερείᾳ ἡ ὑπὸ ΒΑΓ, ἐχέτωσαν δὲ τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓ· λέγω, ὅτι διπλασίων ἐστὶν ἡ ὑπὸ ΒΕΓ γωνία τῆς ὑπὸ ΒΑΓ.

Ἐπιζευχθεῖσα γὰρ ἡ ΑΕ διήχθω ἐπὶ τὸ Ζ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, ἴση καὶ γωνία ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ· αἱ ἄρα ὑπὸ ΕΑΒ, ΕΒΑ γωνίαι τῆς ὑπὸ ΕΑΒ διπλασίους εἰσίν. ἴση δὲ ἡ ὑπὸ ΒΕΖ ταῖς ὑπὸ ΕΑΒ, ΕΒΑ· καὶ ἡ ὑπὸ ΒΕΖ ἄρα τῆς ὑπὸ ΕΑΒ ἐστι διπλῆ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΖΕΓ τῆς ὑπὸ ΕΑΓ ἐστι διπλῆ. ὅλη ἄρα ἡ ὑπὸ ΒΕΓ ὅλης τῆς ὑπὸ ΒΑΓ ἐστι διπλῆ.




Κεκλάσθω δὴ πάλιν, καὶ ἔστω ἑτέρα γωνία ἡ ὑπὸ ΒΔΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω ἐπὶ τὸ Η. ὁμοίως δὴ δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ ὑπὸ ΗΕΓ γωνία τῆς ὑπὸ ΕΔΓ, ὧν ἡ ὑπὸ ΗΕΒ διπλῆ ἐστι τῆς ὑπὸ ΕΔΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΓ διπλῆ ἐστι τῆς ὑπὸ ΒΔΓ.

Ἐν κύκλῳ ἄρα ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν [αἱ γωνίαι]· ὅπερ ἔδει δεῖξαι.

κα'.

Ἐν κύκλῳ αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν τῷ αὐτῷ τμήματι τῷ ΒΑΕΔ γωνίαι ἔστωσαν αἱ ὑπὸ ΒΑΔ, ΒΕΔ· λέγω, ὅτι αἱ ὑπὸ ΒΑΔ, ΒΕΔ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.



Εἰλήφθω γὰρ τοῦ ΑΒΓΔ κύκλου τὸ κέντρον, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μὲν ὑπὸ ΒΖΔ γωνία πρὸς τῷ κέντρῳ ἐστίν, ἡ δὲ ὑπὸ ΒΑΔ πρὸς τῇ περιφερείᾳ, καὶ ἔχουσι τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓΔ, ἡ ἄρα ὑπὸ ΒΖΔ γωνία διπλασίων ἐστὶ τῆς ὑπὸ ΒΑΔ. διὰ τὰ αὐτὰ δὴ ἡ ὑπὸ ΒΖΔ καὶ τῆς ὑπὸ ΒΕΔ ἐστι διπλασίων· ἴση ἄρα ἡ ὑπὸ ΒΑΔ τῇ ὑπὸ ΒΕΔ.

Ἐν κύκλῳ ἄρα αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Τῶν ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν αὐτῷ τετράπλευρον ἔστω τὸ ΑΒΓΔ· λέγω, ὅτι αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν·

20.

Είς κύκλον ή γωνία ή έχουσα τήν κορυφήν αύτής είς τό κέντρον είναι διπλασία τής γωνίας τής έχούσης τήν κορυφήν είς τήν περιφέρειαν, όταν καί αί δύο γωνίαι έχουν ώς βάσιν τό αύτό τόξον.

Έστω κύκλος ό ΑΒΓ καί έπίκεντρος μέν γωνία, έστω ή ΒΕΓ, έγγεγραμμένη δέ ή ΒΑΓ, άς έχουν δέ τό αύτό τόξον ώς βάσιν, τό ΒΓ· λέγω, ότι ή γωνία ΒΕΓ είναι διπλασία τής ΒΑΓ.

Διότι, άφοῦ άχθῇ ή ΑΕ, άς προεκταθῇ μέχρι τοῦ Ζ.

Έπειδή λοιπόν ή ΕΑ είναι ίση πρός τήν ΕΒ, καί ή γωνία ΕΑΒ είναι ίση πρός τήν ΕΒΑ· άρα αί γωνίαι ΕΑΒ, ΕΒΑ είναι διπλάσιαι τής ΕΑΒ. Είναι δέ ή ΒΕΖ ίση πρός τάς ΕΑΒ, ΕΒΑ (I.32)· άρα καί ή ΒΕΖ είναι διπλασία τής ΕΑΒ. Διά τούς αύτούς λόγους ή ΖΕΓ είναι διπλασία τής ΕΑΓ. Άρα όλη ή ΒΕΓ είναι διπλασία όλης τής ΒΑΓ.

Άς φέρωμεν πάλιν μίαν τεθλασμένην γραμμήν καί έστω άλλη γωνία ή ΒΔΓ, καί άφοῦ άχθῇ ή ΔΕ, άς προεκβληθῇ μέχρι τοῦ Η. Όμοίως άποδεικνύομεν, ότι ή γωνία ΗΕΓ είναι διπλασία τής ΕΔΓ, έκ τών όποίων ή ΗΕΒ είναι διπλασία τής ΕΔΒ· άρα ή λοιπή ή ΒΕΓ είναι διπλασία τής ΒΔΓ.

Είς κύκλον άρα ή γωνία ή έχουσα τήν κορυφήν είς τό κέντρον είναι διπλασία τής έχούσης τήν κορυφήν είς τήν περιφέρειαν, όταν [αί γωνίαι] έχουν τό αύτό τόξον ώς βάσιν· όπερ έδει δεῖξαι.

21.

Είς κύκλον, αί είς τό αύτό τμήμα γωνίαι είναι μεταξύ των ίσαι.

Έστω ό κύκλος ΑΒΓΔ, καί είς τό αύτό τμήμα τό ΒΑΕΔ έστωσαν αί γωνίαι ΒΑΔ, ΒΕΔ· λέγω, ότι αί γωνίαι ΒΑΔ, ΒΕΔ είναι μεταξύ των ίσαι.

Διότι, άς ληφθῇ τό κέντρον τοῦ κύκλου ΑΒΓΔ, καί έστω τό Ζ, καί άς άχθοῦν αί ΒΖ, ΖΔ.

Καί έπειδή ή μέν γωνία ΒΖΔ είναι έπίκεντρος, ή δέ ΒΑΔ είναι έγγεγραμμένη καί έχουν ώς βάσιν τό αύτό τόξον τό ΒΓΔ, έπεται, ότι ή γωνία ΒΖΔ είναι διπλασία τής ΒΑΔ (III. 20). Διά τούς αύτούς λόγους ή ΒΖΔ είναι διπλασία τής ΒΕΔ· άρα ή ΒΑΔ είναι ίση πρός τήν ΒΕΔ.

Είς κύκλον άρα αί είς τό αύτό τμήμα γωνίαι είναι μεταξύ των ίσαι· όπερ έδει δεῖξαι.


22.

Αί άπέναντι γωνίαι τών είς κύκλον τετραπλεύρων ίσοῦνται μέ δύο όρθάς.

Έστω ό κύκλος ΑΒΓΔ καί τό έγγεγραμμένον είς αύτόν τετράπλευρον ΑΒΓΔ· λέγω, ότι αί άπέναντι γωνίαι ίσοῦνται μέ δύο όρθάς.

Ἐπεζεύχθωσαν αἱ ΑΓ, ΒΔ.

Ἐπεὶ οὖν παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, τοῦ ΑΒΓ ἄρα τριγώνου αἱ τρεῖς γωνίαι αἱ ὑπὸ ΓΑΒ, ΑΒΓ, ΒΓΑ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἴση δὲ ἡ μὲν ὑπὸ ΓΑΒ τῇ ὑπὸ ΒΔΓ ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ ΒΑΔΓ· ἡ δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΑΔΒ· ἐν γὰρ τῷ αὐτῷ τμήματί εἰσι τῷ ΑΔΓΒ· ὅλη ἄρα ἡ ὑπὸ ΑΔΓ ταῖς ὑπὸ ΒΑΓ, ΑΓΒ ἴση ἐστίν. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΒΓ· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΒΑΓ, ΑΓΒ ταῖς ὑπὸ ΑΒΓ, ΑΔΓ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΑΒΓ, ΒΑΓ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. καὶ αἱ ὑπὸ ΑΒΓ, ΑΔΓ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ὑπὸ ΒΑΔ, ΔΓΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.



Τῶν ἄρα ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἔδει δεῖξαι.

κγ'.

Ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα οὐ συσταθήσεται ἐπὶ τὰ αὐτὰ μέρη.

Εἰ γὰρ δυνατόν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συνεστάτω ἐπὶ τὰ αὐτὰ μέρη τὰ ΑΓΒ, ΑΔΒ, καὶ διήχθω ἡ ΑΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒ, ΔΒ.



Ἐπεὶ οὖν ὅμοιόν ἐστι τὸ ΑΓΒ τμῆμα τῷ ΑΔΒ τμήματι, ὅμοια δὲ τμήματα κύκλων ἐστὶ τὰ δεχόμενα γωνίας ἴσας, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΑΔΒ ἡ ἐκτὸς τῇ ἐντός· ὅπερ ἐστὶν ἀδύνατον.


Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα συσταθήσεται ἐπὶ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

κδ'.

Τὰ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν.

Ἔστωσαν γὰρ ἐπὶ ἴσων εὐθειῶν τῶν ΑΒ, ΓΔ ὅμοια τμήματα κύκλων τὰ ΑΕΒ, ΓΖΔ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΕΒ τμῆμα τῷ ΓΖΔ τμήματι.

Ἐφαρμοζομένου γὰρ τοῦ ΑΕΒ τμήματος ἐπὶ τὸ ΓΖΔ καὶ τιθεμένου τοῦ μὲν Α σημείου ἐπὶ τὸ Γ τῆς δὲ ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ, ἐφαρμόσει καὶ τὸ Β σημεῖον ἐπὶ τὸ Δ σημεῖον διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ τῇ ΓΔ· τῆς δὲ ΑΒ ἐπὶ τὴν ΓΔ ἐφαρμοσάσης ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ· εἰ γὰρ ἡ ΑΒ εὐθεῖα ἐπὶ τὴν ΓΔ ἐφαρμόσει, τὸ δὲ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ μὴ ἐφαρμόσει, ἤτοι ἐντὸς αὐτοῦ πεσεῖται ἢ ἐκτὸς ἢ παραλλάξει ὡς τὸ ΓΗΔ, καὶ κύκλος κύκλον τέμνει κατὰ πλείονα σημεῖα ἢ δύο· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἐφαρμοζομένης τῆς ΑΒ εὐθείας ἐπὶ τὴν ΓΔ οὐκ ἐφαρμόσει καὶ τὸ ΑΕΒ τμῆμα ἐπὶ τὸ ΓΖΔ· ἐφαρμόσει ἄρα, καὶ ἴσον αὐτῷ ἔσται.



Ἂς ἀχθοῦν αἱ ΑΓ, ΒΔ.

Ἐπειδὴ λοιπὸν αἱ τρεῖς γωνίαι παντὸς τριγώνου ἰσοῦνται μὲ δύο ὀρθάς (I.32), ἕπεται, ὅτι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου ΑΒΓ, αἱ ΓΑΒ, ΑΒΓ, ΒΓΑ ἰσοῦνται μὲ δύο ὀρθάς. Εἶναι δὲ ἡ μὲν ΓΑΒ ἴση πρὸς τὴν ΒΔΓ· διότι αὗται εὑρίσκονται εἰς τὸ αὐτὸ τμῆμα τὸ ΒΑΔΓ (III. 21), ἡ δὲ γωνία ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΑΔΒ· διότι εὑρίκονται εἰς τὸ αὐτὸ τμῆμα τὸ ΑΔΓΒ· ἄρα ὅλη ἡ ΑΔΓ εἶναι ἴση πρὸς τὰς ΒΑΓ, ΑΓΒ. Ἂς προστεθῇ ἡ κοινὴ ΑΒΓ· ἄρα αἱ ΑΒΓ, ΒΑΓ, ΑΓΒ εἶναι ἴσαι πρὸς τὰς ΑΒΓ, ΑΔΓ. Ἀλλὰ αἱ ΑΒΓ, ΒΑΓ, ΑΓΒ ἰσοῦνται μὲ δύο ὀρθάς. Ἄρα καὶ αἱ ΑΒΓ, ΑΔΓ ἰσοῦνται μὲ δύο ὀρθάς. Ὁμοίως ἀποδεικνύομεν, ὅτι καὶ αἱ γωνίαι ΒΑΔ, ΔΓΒ ἰσοῦνται μὲ δύο ὀρθάς.

Ἄρα τῶν εἰς τοὺς κύκλους τετραπλεύρων, αἱ ἀπέναντι γωνίαι ἰσοῦνται μὲ δύο ὀρθάς· ὅπερ ἔδει δεῖξαι.

23.

Ἐπὶ τῆς αὐτῆς εὐθείας καὶ πρὸς τὰ αὐτὰ μέρη αὐτῆς δὲν δύνανται νὰ κατασκευασθοῦν δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα.

Διότι, ἐὰν εἶναι δυνατόν, ἂς κατασκευασθοῦν ἐπὶ τῆς αὐτῆς εὐθείας ΑΒ, καὶ πρὸς τὰ αὐτὰ μέρη αὐτῆς, δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα, τὰ ΑΓΒ ΑΔΒ καὶ ἂς διαχθῇ ἡ ΑΓΔ, καὶ ἂς ἀχθοῦν αἱ ΓΒ, ΔΒ.

Ἐπειδὴ λοιπὸν τὸ τμῆμα ΑΓΒ εἶναι ὅμοιον πρὸς τὸ τμῆμα ΑΔΒ, ὅμοια δὲ τμήματα κύκλων εἶναι τὰ δεχόμενα γωνίας ἴσας (ὁρ. III. 11), ἕπεται, ὅτι ἡ γωνία ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΑΔΒ, ἤτοι ἡ ἐκτὸς ἴση πρὸς τὴν ἐντός· ὅπερ ἀδύνατον (I.16). Ἄρα δὲν δύνανται νὰ κατασκευασθοῦν ἐπὶ τῆς αὐτῆς εὐθείας καὶ πρὸς τὰ αὐτὰ μέρη αὐτῆς δύο τμήματα κύκλων ὅμοια καὶ ἄνισα· ὅπερ ἔδει δεῖξαι.

24.

Τὰ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων εἶναι μεταξύ των ἴσα.

Διότι, ἔστωσαν ἐπὶ τῶν ἴσων εὐθειῶν ΑΒ, ΓΔ ὅμοια τμήματα κύκλων τὰ ΑΕΒ, ΓΖΔ· λέγω, ὅτι τὸ τμῆμα ΑΕΒ εἶναι ἴσον πρὸς τὸ τμῆμα ΓΖΔ.

Διότι, ἐὰν ἐφαρμοσθῇ τὸ τμῆμα ΑΕΒ ἐπὶ τοῦ τμήματος ΓΖΔ καὶ τεθῇ τὸ μὲν σημεῖον Α ἐπὶ τοῦ σημείου Γ, ἡ δὲ εὐθεῖα ΑΒ ἐπὶ τῆς εὐθείας ΓΔ, θὰ ἐφαρμόσῃ καὶ τὸ σημεῖον Β ἐπὶ τοῦ σημείου Δ, διότι ἡ ΑΒ εἶναι ἴση πρὸς τὴν ΓΔ· ὅταν δὲ ἡ ΑΒ ἐφαρμόσῃ ἐπὶ τῆς ΓΔ καὶ τὸ τμῆμα ΑΕΒ θὰ ἐφαρμόσῃ ἐπὶ τοῦ τμήματος ΓΖΔ. Διότι, ἐὰν ἡ εὐθεῖα ΑΒ ἐφαρμόσῃ ἐπὶ τῆς εὐθείας ΓΔ, τὸ δὲ τμῆμα ΑΕΒ δὲν ἐφαρμόσῃ ἐπὶ τοῦ ΓΖΔ, τοῦτο ἢ θὰ πέσῃ ἐντὸς αὐτοῦ ἢ ἐκτὸς ἢ θὰ παραλλάξῃ ὅπως τὸ ΓΗΔ, ὁπότε κύκλος τέμνει κύκλον εἰς περισσότερα ἢ δύο σημεῖα· ὅπερ ἀδύνατον (III. 10). Ὄχι λοιπόν, ἐὰν ἐφαρμόσῃ ἡ εὐθεῖα ΑΒ ἐπὶ τῆς ΓΔ, δὲν θὰ ἐφαρμόσῃ καὶ τὸ τμῆμα ΑΕΒ ἐπὶ τοῦ ΓΖΔ· ἄρα θὰ ἐφαρμόσῃ, καὶ θὰ εἶναι ἴσον πρὸς αὐτό.


Τὰ ἄρα ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

κε'.


Κύκλου τμήματος δοθέντος προσαναγράψαι τὸν κύκλον, οὗπέρ ἐστι τμῆμα.

Ἔστω τὸ δοθὲν τμῆμα κύκλου τὸ ΑΒΓ· δεῖ δὴ τοῦ ΑΒΓ τμήματος προσαναγράψαι τὸν κύκλον, οὗπέρ ἐστι τμῆμα.

Τετμήσθω γὰρ ἡ ΑΓ δίχα κατὰ τὸ Δ, καὶ ἤχθω ἀπὸ τοῦ Δ σημείου τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ· ἡ ὑπὸ ΑΒΔ γωνία ἄρα τῆς ὑπὸ ΒΑΔ ἤτοι μείζων ἐστὶν ἢ ἴση ἢ ἐλάττων.



Ἔστω πρότερον μείζων, καὶ συνεστάτω πρὸς τῇ ΒΑ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΑΒΔ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΑΕ, καὶ διήχθω ἡ ΑΒ ἐπὶ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΒΑΕ, ἴση ἄρα ἐστὶ καὶ ἡ ΕΒ εὐθεῖα τῇ ΕΑ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, κοινὴ δὲ ἡ ΔΕ, δύο δὴ αἱ ΑΔ, ΔΕ δύο ταῖς ΓΔ, ΔΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΔΕ γωνίᾳ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση· ὀρθὴ γὰρ ἑκατέρα· βάσις ἄρα ἡ ΑΕ βάσει τῇ ΓΕ ἐστιν ἴση. ἀλλὰ ἡ ΑΕ τῇ ΒΕ ἐδείχθη ἴση· καὶ ἡ ΒΕ ἄρα τῇ ΓΕ ἐστιν ἴση· αἱ τρεῖς ἄρα αἱ ΑΕ, ΕΒ, ΕΓ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Ε διαστήματι δὲ ἑνὶ τῶν ΑΕ, ΕΒ, ΕΓ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἔσται προσαναγεγραμμένος. κύκλου ἄρα τμήματος δοθέντος προσαναγέγραπται ὁ κύκλος καὶ δῆλον, ὡς τὸ ΑΒΓ τμῆμα ἔλαττόν ἐστιν ἡμικυκλίου διὰ τὸ Ε κέντρον ἐκτὸς αὐτοῦ τυγχάνειν.



Ὁμοίως [δὲ] κἂν ᾖ ἡ ὑπὸ ΑΒΔ γωνία ἴση τῇ ὑπὸ ΒΑΔ, τῆς ΑΔ ἴσης γενομένης ἑκατέρᾳ τῶν ΒΔ, ΔΓ αἱ τρεῖς αἱ ΔΑ, ΔΒ, ΔΓ ἴσαι ἀλλήλαις ἔσονται, καὶ ἔσται τὸ Δ κέντρον τοῦ προσαναπεπληρωμένου κύκλου, καὶ δηλαδὴ ἔσται τὸ ΑΒΓ ἡμικύκλιον.

Ἐὰν δὲ ἡ ὑπὸ ΑΒΔ ἐλάττων ᾖ τῆς ὑπὸ ΒΑΔ, καὶ συστησώμεθα πρὸς τῇ ΒΑ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΑΒΔ γωνίᾳ ἴσην, ἐντὸς τοῦ ΑΒΓ τμήματος πεσεῖται τὸ κέντρον ἐπὶ τῆς ΔΒ, καὶ ἔσται δηλαδὴ τὸ ΑΒΓ τμῆμα μεῖζον ἡμικυκλίου.

Κύκλου ἄρα τμήματος δοθέντος προσαναγέγραπται ὁ κύκλος· ὅπερ ἔδει ποιῆσαι.

κϛ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ καὶ ἐν αὐτοῖς ἴσαι γωνίαι ἔστωσαν

Ἄρα τὰ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων εἶναι μεταξύ των ἴσα· ὅπερ ἔδει δεῖξαι.

25.

Ἐὰν δοθῇ τμῆμα κύκλου, νὰ γραφῇ ἐπ' αὐτοῦ ὁ κύκλος εἰς τὸν ὁποῖον ἀνήκει τὸ τμῆμα.

Ἔστωσαν τὸ δοθὲν τμῆμα κύκλου τὸ ΑΒΓ· πρέπει νὰ γραφῇ ὁ κύκλος εἰς τὸν ὁποῖον ἀνήκει τὸ τμῆμα ΑΒΓ.

Διότι ἂς τμηθῇ ἡ ΑΓ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Δ, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Δ ἡ ΔΒ κάθετος ἐπὶ τὴν ΑΓ, καὶ ἂς ἀχθῇ ἡ ΑΒ· ἄρα ἡ γωνία ΑΒΔ θὰ εἶναι μεγαλυτέρα ἢ ἴση ἢ μικροτέρα τῆς ΒΑΔ.

Ἔστω πρῶτον, ὅτι εἶναι μεγαλυτέρα καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΒΑ μὲ κορυφὴν τὸ σημεῖον Α, ἡ γωνία ΒΑΕ ἴση πρὸς τὴν γωνίαν ΑΒΔ (I.23) καὶ ἂς προεκταθῇ ἡ ΔΒ μέχρι τοῦ σημείου Ε, καὶ ἂς ἀχθῇ ἡ ΕΓ. Ἐπειδὴ λοιπὸν ἡ γωνία ΑΒΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΑΕ, ἕπεται, ὅτι καὶ ἡ εὐθεῖα ΕΒ εἶναι ἴση πρὸς τὴν ΕΑ (I. 6). Καὶ ἐπειδὴ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΓ, ἡ δὲ ΔΕ εἶναι κοινή, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΔ, ΔΕ, αἱ ὁποῖαι εἶναι ἀντιστοίχως ἴσαι πρὸς τὰς εὐθείας ΓΔ, ΔΕ· καὶ ἡ γωνία ΑΔΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΓΔΕ· διότι ἑκάστη τούτων εἶναι ὀρθή· ἄρα ἡ βάσις ΑΕ εἶναι ἴση πρὸς τὴν βάσιν ΓΕ (I. 4). Ἀλλὰ ἡ ΑΕ ἐδείχθη ἴση πρὸς τὴν ΒΕ· ἄρα καὶ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΓΕ· αἱ τρεῖς ἄρα αἱ ΑΕ, ΕΒ, ΕΓ εἶναι μεταξύ των ἴσαι· ἐπομένως ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Ε καὶ ἀκτῖνα μίαν τῶν ΑΕ, ΕΒ, ΕΓ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ εἶναι κύκλος εἰς τὸν ὁποῖον ἀνήκει τὸ τμῆμα (III. 9). Ἄρα δοθέντος τμήματος κύκλου ἔχει γραφῇ ὁ κύκλος εἰς τὸν ὁποῖον ἀνήκει τοῦτο. Καὶ εἶναι φανερόν, ὅτι τὸ τμῆμα ΑΒΓ εἶναι μικρότερον ἡμικυκλίου, διότι τὸ κέντρον Ε εὑρίσκεται ἐκτὸς αὐτοῦ.

Ὁμοίως δέ, καὶ ἂν ἡ γωνία ΑΒΔ εἶναι ἴση πρὸς τὴν ΒΑΔ, ἀφοῦ ἡ ΑΔ ληφθῇ ἴση πρὸς ἑκάστην τῶν ΒΔ, ΔΓ, αἱ τρεῖς αἱ ΔΑ, ΔΒ, ΔΓ θὰ εἶναι μεταξύ των ἴσαι (I. 6) καὶ θὰ εἶναι τὸ Δ κέντρον τοῦ κύκλου εἰς τὸν ὁποῖον ἀνήκει τὸ τμῆμα, θὰ εἶναι δηλαδὴ τὸ ΑΒΓ ἡμικύκλιον.

Ἐὰν δὲ ἡ γωνία ΑΒΔ εἶναι μικροτέρα τῆς ΒΑΔ, καὶ κατασκευάσωμεν ἐπὶ τῆς εὐθείας ΒΑ μὲ κορυφὴν τὸ Α γωνίαν ἴσην πρὸς τὴν ΑΒΔ (I. 23), τὸ κέντρον τοῦ κύκλου θὰ πέσῃ ἐντὸς τοῦ τμήματος ΑΒΓ καὶ θὰ κεῖται ἐπὶ τῆς ΔΒ, θὰ εἶναι δηλαδὴ τὸ τμῆμα ΑΒΓ μεγαλύτερον ἡμικυκλίου.


Ἄρα δοθέντος τμήματος κύκλου ἔχει γραφῇ ὁ κύκλος εἰς τὸν ὁποῖον ἀνήκει τοῦτο· ὅπερ ἔδει ποιῆσαι.

26.

Εἰς ἴσους κύκλους αἱ ἴσαι γωνίαι βαίνουν ἐπὶ ἴσων τόξων, εἴτε ἐπίκεντροι εἶναι αὗται, εἴτε ἐγγεγραμμέναι.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ καὶ εἰς αὐτοὺς ἔστωσαν ἴσαι γωνίαι

πρὸς μὲν τοῖς κέντροις αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείας αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω, ὅτι ἴση ἐστὶν ἡ ΒΚΓ περιφέρεια τῇ ΕΛΖ περιφερείᾳ.



Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΓ, ΕΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶν αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΗ, ΗΓ δύο ταῖς ΕΘ, ΘΖ ἴσαι· καὶ γωνία ἡ πρὸς τῷ Η γωνίᾳ τῇ πρὸς τῷ Θ ἴση· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ πρὸς τῷ Α γωνία τῇ πρὸς τῷ Δ, ὅμοιον ἄρα ἐστὶ τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ τμήματι· καί εἰσιν ἐπὶ ἴσων εὐθειῶν [τῶν ΒΓ, ΕΖ]· τὰ δὲ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα τὸ ΒΑΓ τμῆμα τῷ ΕΔΖ. ἔστι δὲ καὶ ὅλος ὁ ΑΒΓ κύκλος ὅλῳ τῷ ΔΕΖ κύκλῳ ἴσος· λοιπὴ ἄρα ἡ ΒΚΓ περιφέρεια τῇ ΕΛΖ περιφερείᾳ ἐστὶν ἴση.


Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ὅπερ ἔδει δεῖξαι.

κζ'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἐπὶ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.

Ἐν γὰρ ἴσοις κύκλοις τοῖς ΑΒΓ, ΔΕΖ ἐπὶ ἴσων περιφερειῶν τῶν ΒΓ, ΕΖ πρὸς μὲν τοῖς Η, Θ κέντροις γωνίαι βεβηκέτωσαν αἱ ὑπὸ ΒΗΓ, ΕΘΖ, πρὸς δὲ ταῖς περιφερείαις αἱ ὑπὸ ΒΑΓ, ΕΔΖ· λέγω, ὅτι ἡ μὲν ὑπὸ ΒΗΓ γωνία τῇ ὑπὸ ΕΘΖ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΒΗΓ τῇ ὑπὸ ΕΘΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΒΗΓ, καὶ συνεστάτω πρὸς τῇ ΒΗ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Η τῇ ὑπὸ ΕΘΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΗΚ· αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις ὦσιν· ἴση ἄρα ἡ ΒΚ περιφέρεια τῇ ΕΖ περιφερείᾳ. ἀλλὰ ἡ ΕΖ τῇ ΒΓ ἐστιν ἴση· καὶ ἡ ΒΚ ἄρα τῇ ΒΓ ἐστιν ἴση ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΒΗΓ γωνία τῇ ὑπὸ ΕΘΖ· ἴση ἄρα. καὶ ἔστι τῆς μὲν ὑπὸ ΒΗΓ ἡμίσεια ἡ πρὸς τῷ Α, τῆς δὲ ὑπὸ ΕΘΖ ἡμίσεια ἡ πρὸς τῷ Δ· ἴση ἄρα καὶ ἡ πρὸς τῷ Α γωνία τῇ πρὸς τῷ Δ.



Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἐπὶ ἴσων περιφερειῶν βεβηκυῖαι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἐάν τε πρὸς τοῖς κέντροις ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι· ὅπερ ἔδει δεῖξαι.

ἐπίκεντροι μὲν αἱ ΒΗΓ, ΕΘΖ, ἐγγεγραμμέναι δὲ αἱ ΒΑΓ, ΕΔΖ· λέγω, ὅτι τὸ τόξον ΒΚΓ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΛΖ.

Διότι, ἂς ἀχθοῦν αἱ ΒΓ, ΕΖ.

Καὶ ἐπειδὴ οἱ κύκλοι ΑΒΓ, ΔΕΖ εἶναι ἴσοι, αἱ ἀκτῖνες αὐτῶν εἶναι ἴσαι· ὑπάρχουν λοιπὸν δύο εὐθεῖαι αἱ ΒΗ, ΗΓ ἴσαι πρὸς δύο τὰς ΕΘ, ΘΖ· καὶ ἡ γωνία Η εἶναι ἴση πρὸς τὴν γωνίαν Θ· ἄρα ἡ βάσις ΒΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΕΖ (I. 4). Καὶ ἐπειδὴ ἡ γωνία Α εἶναι ἴση πρὸς τὴν γωνίαν Δ, ἕπεται, ὅτι τὸ τμῆμα ΒΑΓ εἶναι ὅμοιον πρὸς τὸ τμῆμα ΕΔΖ (ὁρισ. III. 11)· καὶ εἶναι ταῦτα ἐπὶ ἴσων εὐθειῶν [τῶν ΒΓ, ΕΖ], τὰ δὲ ὅμοια τμήματα κύκλων τὰ ἐπὶ ἴσων εὐθειῶν, εἶναι μεταξύ των ἴσα (III. 24)· ἄρα τὸ τμῆμα ΒΑΓ εἶναι ἴσον πρὸς τὸ ΕΔΖ. Εἶναι δὲ καὶ ὅλος ὁ κύκλος ΑΒΓ ἴσος πρὸς ὅλον τὸν κύκλον ΔΕΖ· ἄρα τὸ ὑπόλοιπον τόξον ΒΚΓ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΛΖ.

Εἰς ἴσους ἄρα κύκλους, αἱ ἴσαι γωνίαι βαίνουν ἐπὶ ἴσων τόξων, εἴτε αὗται εἶναι ἐπίκεντροι εἴτε ἐγγεγραμμέναι· ὅπερ ἔδει δεῖξαι.

27.

Εἰς τοὺς ἴσους κύκλους αἱ γωνίαι αἱ βαίνουσαι ἐπὶ ἴσων τόξων εἶναι μεταξύ των ἴσαι, εἴτε αὗται εἶναι ἐπίκεντροι εἴτε ἐγγεγραμμέναι.

Διότι, εἰς τοὺς ἴσους κύκλους ΑΒΓ, ΔΕΖ ἂς βαίνουν ἐπὶ τῶν ἴσων τόξων ΒΓ, ΕΖ πρὸς μὲν τὰ κέντρα Η, Θ (ἐπίκεντροι) αἱ γωνίαι ΒΗΓ, ΕΘΖ, ἐγγεγραμμέναι δὲ αἱ ΒΑΓ, ΕΔΖ· λέγω, ὅτι ἡ μὲν γωνία ΒΗΓ εἶναι ἴση πρὸς τὴν ΕΘΖ, ἡ δὲ ΒΑΓ εἶναι ἴση πρὸς τὴν ΕΔΖ.

Διότι, ἐὰν ἡ ΒΗΓ εἶναι ἄνισος πρὸς τὴν ΕΘΖ, μία ἐξ αὐτῶν θὰ εἶναι μεγαλυτέρα. Ἔστω ἡ ΒΗΓ μεγαλυτέρα, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΒΗ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον τὸ Η, γωνία ἴση πρὸς τὴν ΕΘΖ ἡ ΒΗΚ (I. 23)· αἱ δὲ ἴσαι γωνίαι, ὅταν εἶναι ἐπίκεντροι, βαίνουν ἐπὶ ἴσων τόξων (III. 26)· ἄρα τὸ τόξον ΒΚ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΖ. Ἀλλὰ τὸ τόξον ΕΖ εἶναι ἴσον πρὸς τὸ ΒΓ· ἄρα καὶ τὸ ΒΚ εἶναι ἴσον πρὸς τὸ ΒΓ, τὸ μικρότερον, ἴσον πρὸς τὸ μεγαλύτερον· ὅπερ ἀδύνατον· δὲν εἶναι ἄρα ἄνισος ἡ γωνία ΒΗΓ πρὸς τὴν γωνίαν ΕΘΖ· ἄρα εἶναι ἴση. Καὶ εἶναι ἡ μὲν (ἐγγεγραμμένη) ἔχουσα τὴν κορυφὴν εἰς τὸ Α, τὸ ἥμισυ τῆς ΒΗΓ, ἡ δὲ ἔχουσα τὴν κορυφὴν εἰς τὸ Δ τὸ ἥμισυ τῆς ΕΘΖ (III. 20). Ἄρα καὶ ἡ ἐγγεγραμμένη ἡ ἔχουσα κορυφὴν τὸ Α εἶναι ἴση πρὸς τὴν ἐγγεγραμμένην τὴν ἔχουσαν κορυφὴν τὸ Δ.


Εἰς τοὺς ἴσους ἄρα κύκλους αἱ γωνίαι αἱ βαίνουσαι ἐπὶ ἴσων τόξων εἶναι μεταξύ των ἴσαι, εἴτε αὗται εἶναι ἐπίκεντροι εἴτε ἐγγεγραμμέναι· ὅπερ ἔδει δεῖξαι.

κη'.

Ἐν τοῖς ἴσοις κύκλοις αἱ ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσι τὴν μὲν μείζονα τῇ μείζονι τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν τοῖς κύκλοις ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΑΒ, ΔΕ τὰς μὲν ΑΓΒ, ΔΖΕ περιφερείας μείζονας ἀφαιροῦσαι τὰς δὲ ΑΗΒ, ΔΘΕ ἐλάττονας· λέγω, ὅτι ἡ μὲν ΑΓΒ μείζων περιφέρεια ἴση ἐστὶ τῇ ΔΖΕ μείζονι περιφερείᾳ, ἡ δὲ ΑΗΒ ἐλάττων περιφέρεια τῇ ΔΘΕ.

Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων τὰ Κ, Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΚΒ, ΔΛ, ΛΕ.




Καὶ ἐπεὶ ἴσοι κύκλοι εἰσίν, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΑΚ, ΚΒ δυσὶ ταῖς ΔΛ, ΛΕ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΑΒ βάσει τῇ ΔΕ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΑΚΒ γωνίᾳ τῇ ὑπὸ ΔΛΕ ἴση ἐστίν· αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν, ὅταν πρὸς τοῖς κέντροις ὦσιν· ἴση ἄρα ἡ ΑΗΒ περιφέρεια τῇ ΔΘΕ. ἔστι δὲ καὶ ὅλος ὁ ΑΒΓ κύκλος ὅλῳ τῷ ΔΕΖ κύκλῳ ἴσος· καὶ λοιπὴ ἄρα ἡ ΑΓΒ περιφέρεια λοιπῇ τῇ ΔΖΕ περιφερείᾳ ἴση ἐστίν.


Ἐν ἄρα τοῖς ἴσοις κύκλοις αἱ ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσι τὴν μείζονα τῇ μείζονι τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι· ὅπερ ἔδει δεῖξαι.

κθ'.

Ἐν τοῖς ἴσοις κύκλοις τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ, καὶ ἐν αὐτοῖς ἴσαι περιφέρειαι ἀπειλήφθωσαν αἱ ΒΗΓ, ΕΘΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΓ, ΕΖ εὐθεῖαι· λέγω, ὅτι ἴση ἐστὶν ἡ ΒΓ τῇ ΕΖ.





Εἰλήφθω γὰρ τὰ κέντρα τῶν κύκλων, καὶ ἔστω τὰ Κ, Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΗΓ περιφέρεια τῇ ΕΘΖ περιφερείᾳ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΚΓ τῇ ὑπὸ ΕΛΖ. καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΑΒΓ, ΔΕΖ κύκλοι, ἴσαι εἰσὶ καὶ αἱ ἐκ τῶν κέντρων· δύο δὴ αἱ ΒΚ, ΚΓ δυσὶ ταῖς ΕΛ, ΛΖ ἴσαι εἰσίν· καὶ γωνίας ἴσας περιέχουσιν· βάσις ἄρα ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστίν.

Ἐν ἄρα τοῖς ἴσοις κύκλοις τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

28.

Εἰς τοὺς ἴσους κύκλους αἱ ἴσαι εὐθεῖαι (χορδαὶ) χωρίζουν ἴσα τόξα, τὸ μὲν μεγαλύτερον ἴσον πρὸς τὸ μεγαλύτερον, τὸ δὲ μικρότερον ἴσον πρὸς τὸ μικρότερον.

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ καὶ εἰς τοὺς κύκλους αἱ ἴσαι εὐθεῖαι ἔστωσαν αἱ ΑΒ, ΔΕ, νὰ χωρίζουν μεγαλύτερα μὲν τόξα τὰ ΑΓΒ, ΔΖΕ, μικρότερα δὲ τὰ ΑΗΒ, ΔΘΕ· λέγω, ὅτι τὸ μὲν μεγαλύτερον τόξον ΑΓΒ εἶναι ἴσον πρὸς τὸ μεγαλύτερον τόξον ΔΖΕ, τὸ δὲ μικρότερον τόξον ΑΗΒ πρὸς τὸ μικρότερον ΔΘΕ.

Διότι, ἂς ληφθοῦν τὰ κέντρα τῶν κύκλων τὰ Κ, Λ, καὶ ἂς ἀχθοῦν αἱ εὐθεῖαι ΑΚ, ΚΒ, ΔΛ, ΛΕ.

Καὶ ἐπειδὴ οἱ κύκλοι εἶναι ἴσοι, εἶναι ἴσαι καὶ αἱ ἀκτῖνες (ὁρισ. III. I)· ὑπάρχουν λοιπὸν δύο εὐθεῖαι αἱ ΑΚ, ΚΒ ἴσαι πρὸς δύο, τὰς ΔΛ, ΛΕ· καὶ ἡ βάσις ΑΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΕ· ἄρα ἡ γωνία ΑΚΒ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΛΕ (I. 8). Αἱ δὲ ἴσαι γωνίαι βαίνουν ἐπὶ ἴσων τόξων, ὅταν εἶναι ἐπίκεντροι (III. 26)· ἄρα τὸ τόξον ΑΗΒ εἶναι ἴσον πρὸς τὸ τόξον ΔΘΕ. Εἶναι δὲ καὶ ὅλος ὁ κύκλος ΑΒΓ ἴσος πρὸς ὅλον τὸν κύκλον ΔΕΖ· ἄρα καὶ τὸ ὑπόλοιπον τόξον ΑΓΒ εἶναι ἴσον πρὸς τὸ ὑπόλοιπον τόξον ΔΖΕ (κ. ἔν. 3).

Εἰς τοὺς ἴσους ἄρα κύκλους αἱ ἴσαι εὐθεῖαι χωρίζουν ἴσα τόξα, τὸ μὲν μεγαλύτερον ἴσον πρὸς τὸ μεγαλύτερον, τὸ δὲ μικρότερον ἴσον πρὸς τὸ μικρότερον· ὅπερ ἔδει δεῖξαι.

29.

Εἰς τοὺς ἴσους κύκλους τὰ ἴσα τόξα ὑποτείνουν ἴσαι εὐθεῖαι (εἰς τὰ ἴσα τόξα, ἴσων κύκλων, ἀντιστοιχοῦν ἴσαι χορδαί).

Ἔστωσαν ἴσοι κύκλοι οἱ ΑΒΓ, ΔΕΖ καὶ ἂς ληφθοῦν εἰς αὐτοὺς τὰ ἴσα τόξα ΒΗΓ, ΕΘΖ καὶ ἂς ἀχθοῦν αἱ εὐθεῖαι ΒΓ, ΕΖ· λέγω, ὅτι ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΕΖ.

Διότι, ἂς ληφθοῦν τὰ κέντρα τῶν κύκλων, καὶ ἔστω ταῦτα τὰ Κ, Λ, καὶ ἂς ἀχθοῦν αἱ ΒΚ, ΚΓ, ΕΛ, ΛΖ.

Καὶ ἐπειδὴ τὸ τόξον ΒΗΓ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΘΖ, εἶναι ἴση καὶ ἡ γωνία ΒΚΓ πρὸς τὴν ΕΛΖ (III. 27). Καὶ ἐπειδὴ οἱ κύκλοι ΑΒΓ, ΔΕΖ εἶναι ἴσοι, εἶναι ἴσαι καὶ αἱ ἀκτῖνες (ὁρ. III. 1)· ὑπάρχουν λοιπὸν δύο εὐθεῖαι αἱ ΒΚ, ΚΒ ἴσαι πρὸς δύο, τὰς ΕΛ, ΛΖ· καὶ περιέχουν αὗται γωνίας ἴσας· ἄρα ἡ βάσις ΒΓ εἶναι ἴση πρὸς τὴν βάσιν ΕΖ (I. 4).


Ἄρα εἰς τοὺς ἴσους κύκλους τὰ ἴσα τόξα ὑποτείνουν ἴσαι εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

λ'.

Τὴν δοθεῖσαν περιφέρειαν δίχα τεμεῖν.

Ἔστω ἡ δοθεῖσα περιφέρεια ἡ ΑΔΒ· δεῖ δὴ τὴν ΑΔΒ περιφέρειαν δίχα τεμεῖν.

Ἐπεζεύχθω ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Γ, καὶ ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΒ.




Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΓΒ, κοινὴ δὲ ἡ ΓΔ, δύο δὴ αἱ ΑΓ, ΓΔ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΓΔ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση· ὀρθὴ γὰρ ἑκατέρα· βάσις ἄρα ἡ ΑΔ βάσει τῇ ΔΒ ἴση ἐστίν, αἱ δὲ ἴσαι εὐθεῖαι ἴσας περιφερείας ἀφαιροῦσι τὴν μὲν μείζονα τῇ μείζονι τὴν δὲ ἐλάττονα τῇ ἐλάττονι· καὶ ἔστιν ἑκατέρα τῶν ΑΔ, ΔΒ περιφερειῶν ἐλάττων ἡμικυκλίου· ἴση ἄρα ἡ ΑΔ περιφέρεια τῇ ΔΒ περιφερείᾳ.

Ἡ ἄρα δοθεῖσα περιφέρεια δίχα τέτμηται κατὰ τὸ Δ σημεῖον· ὅπερ ἔδει ποιῆσαι.

λα'.

Ἐν κύκλῳ ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν, ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ὀρθῆς, ἡ δὲ ἐν τῷ ἐλάττονι τμήματι μείζων ὀρθῆς· καὶ ἔτι ἡ μὲν τοῦ μείζονος τμήματος γωνία μείζων ἐστὶν ὀρθῆς, ἡ δὲ τοῦ ἐλάττονος τμήματος γωνία ἐλάττων ὀρθῆς.

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΒΓ, κέντρον δὲ τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ ΒΑ, ΑΓ, ΑΔ, ΔΓ· λέγω, ὅτι ἡ μὲν ἐν τῷ ΒΑΓ ἡμικυκλίῳ γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστιν, ἡ δὲ τῷ ΑΒΓ μείζονι τοῦ ἡμικυκλίου τμήματι γωνία ἡ ὑπὸ ΑΒΓ ἐλάττων ἐστὶν ὀρθῆς, ἡ δὲ ἐν τῷ ΑΔΓ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι γωνία ἡ ὑπὸ ΑΔΓ μείζων ἐστὶν ὀρθῆς.



Ἐπεζεύχθω ἡ ΑΕ, καὶ διήχθω ἡ ΒΑ ἐπὶ τὸ Ζ. Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΒΑΕ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΓΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΓΑΕ· ὅλη ἄρα ἡ ὑπὸ ΒΑΓ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ ἴση ἐστίν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΖΑΓ ἐκτὸς τοῦ ΑΒΓ τριγώνου δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαις ἴση· ἴση ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΖΑΓ· ὀρθὴ ἄρα ἑκατέρα· ἡ ἄρα ἐν τῷ ΒΑΓ ἡμικυκλίῳ γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστιν.

Καὶ ἐπεὶ τοῦ ΑΒΓ τριγώνου δύο γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΑΓ δύο ὀρθῶν ἐλάττονές εἰσιν, ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΓ, ἐλάττων ἄρα ὀρθῆς ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία· καὶ ἔστιν ἐν τῷ ΑΒΓ μείζονι τοῦ ἡμικυκλίου τμήματι.

30.

Τό δοθὲν τόξον νὰ διχοτομηθῇ.

Ἔστω τὸ δοθὲν τόξον τὸ ΑΔΒ· πρέπει τὸ τόξον ΑΔΒ νὰ διχοτομηθῇ.

Ἄς ἀχθῇ ἡ ΑΒ, καὶ ἄς τμηθῇ εἰς τὸ μέσον κατὰ τὸ Γ (I.10), καὶ ἀπὸ τοῦ σημείου Γ ἄς ἀχθῇ ἐπὶ τὴν εὐθεῖαν ΑΒ κάθετος ἡ ΓΔ, καὶ ἄς ἀχθοῦν αἱ ΑΔ, ΔΒ.

Καὶ ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΓΒ, κοινὴ δὲ ἡ ΓΔ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΓ, ΓΔ, ἴσαι πρὸς δύο τὰς ΒΓ, ΓΔ· καὶ ἡ γωνία ΑΓΔ εἶναι ἴση πρὸς τὴν ΒΓΔ· διότι ἑκάστη τούτων εἶναι ὀρθή· ἄρα ἡ βάσις ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΒ (I.4). Αἱ δὲ ἴσαι εὐθεῖαι χωρίζουν ἴσα τόξα, τὸ μὲν μεγαλύτερον ἴσον πρὸς τὸ μεγαλύτερον τὸ δὲ μικρότερον ἴσον πρὸς τὸ μικρότερον (III. 28)· καὶ εἶναι ἕκαστον τῶν τόξων ΑΔ, ΔΒ μικρότερον ἡμικυκλίου· ἄρα τὸ τόξον ΑΔ εἶναι ἴσον πρὸς τὸ τόξον ΔΒ.

Ἄρα τὸ δοθὲν τόξον ἐδιχοτομήθη κατὰ τὸ σημεῖον Δ· ὅπερ ἔδει ποιῆσαι.

31.

Εἰς κύκλον ἡ μὲν εἰς τὸ ἡμικύκλιον γωνία εἶναι ὀρθή, ἡ δὲ εὑρισκομένη εἰς τμῆμα μεγαλύτερον τοῦ ἡμικυκλίου εἶναι μικροτέρα ὀρθῆς, ἡ δὲ εἰς μικρότερον τμῆμα εἶναι μεγαλυτέρα ὀρθῆς· καὶ ἀκόμη, ἡ μὲν γωνία τοῦ μεγαλυτέρου τμήματος εἶναι μεγαλυτέρα ὀρθῆς, ἡ δὲ γωνία τοῦ μικροτέρου τμήματος μικροτέρα ὀρθῆς.

Ἔστω ὁ κύκλος ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΒΓ, κέντρον δὲ τὸ Ε, καὶ ἄς ἀχθοῦν αἱ ΒΑ, ΑΓ, ΑΔ, ΔΓ· λέγω, ὅτι ἡ μὲν εἰς τὸ ΒΑΓ ἡμικύκλιον γωνία, ἡ ΒΑΓ εἶναι ὀρθή, ἡ δὲ εἰς τὸ κυκλικὸν τμῆμα ΑΒΓ, τὸ ὁποῖον εἶναι μεγαλύτερον τοῦ ἡμικυκλίου, γωνία ἡ ΑΒΓ εἶναι μικροτέρα ὀρθῆς, ἡ δὲ εἰς τὸ μικρότερον τοῦ ἡμικυκλίου τμῆμα τὸ ΑΔΓ γωνία ἡ ΑΔΓ εἶναι μεγαλυτέρα ὀρθῆς.

Ἄς ἀχθῇ ἡ ΑΕ καὶ ἄς προεκταθῇ ἡ ΒΑ μέχρι τοῦ Ζ.

Καὶ ἐπειδὴ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΕΑ, ἡ γωνία ΑΒΕ εἶναι ἴση πρὸς τὴν ΒΑΕ (I.5). Πάλιν, ἐπειδὴ ἡ ΓΕ εἶναι ἴση πρὸς τὴν ΕΑ, ἡ γωνία ΑΓΕ εἶναι ἴση πρὸς τὴν ΓΑΕ· ἄρα ὅλη ἡ γωνία ΒΑΓ ἰσοῦται πρὸς τὰς δύο γωνίας τὰς ΑΒΓ, ΑΓΒ. Εἶναι δὲ καὶ ἡ γωνία ΖΑΓ, ἡ ἐκτὸς γωνία τοῦ τριγώνου ΑΒΓ, ἴση πρὸς τὰς δύο γωνίας τὰς ΑΒΓ, ΑΓΒ (I.32)· ἄρα καὶ ἡ γωνία ΒΑΓ εἶναι ἴση πρὸς τὴν ΖΑΓ· ἄρα ἑκάστη τούτων εἶναι ὀρθή (I ὁρισ. 10)· ἄρα ἡ εἰς τὸ ἡμικύκλιον ΒΑΓ γωνία, ἡ ΒΑΓ εἶναι ὀρθή.

Καὶ ἐπειδὴ δύο γωνίαι τοῦ τριγώνου ΑΒΓ, αἱ ΑΒΓ, ΒΑΓ εἶναι μικρότεραι τῶν δύο ὀρθῶν (I.17), ἡ δὲ ΒΑΓ εἶναι ὀρθή, ἕπεται, ὅτι ἡ γωνία ΑΒΓ εἶναι μικροτέρα ὀρθῆς· καὶ εὑρίσκεται αὕτη εἰς τὸ τμῆμα ΑΒΓ, τὸ ὁποῖον εἶναι μεγαλύτερον τοῦ ἡμικυκλίου.

Καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ΑΒΓΔ, τῶν δὲ ἐν τοῖς κύκλοις τετραπλεύρων αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν [αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΔΓ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν], καὶ ἔστιν ἡ ὑπὸ ΑΒΓ ἐλάττων ὀρθῆς· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΔΓ γωνία μείζων ὀρθῆς ἐστιν· καὶ ἔστιν ἐν τῷ ΑΔΓ ἐλάττονι τοῦ ἡμικυκλίου τμήματι.

Λέγω, ὅτι καὶ ἡ μὲν τοῦ μείζονος τμήματος γωνία ἡ περιεχομένη ὑπό [τε] τῆς ΑΒΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας μείζων ἐστὶν ὀρθῆς, ἡ δὲ τοῦ ἐλάττονος τμήματος γωνία ἡ περιεχομένη ὑπό [τε] τῆς ΑΔ [Γ] περιφερείας καὶ τῆς ΑΓ εὐθείας ἐλάττων ἐστὶν ὀρθῆς. καὶ ἔστιν αὐτόθεν φανερόν. ἐπεὶ γὰρ ἡ ὑπὸ τῶν ΒΑ, ΑΓ εὐθειῶν ὀρθή ἐστιν, ἡ ἄρα ὑπὸ τῆς ΑΒΓ περιφερείας καὶ τῆς ΑΓ εὐθείας περιεχομένη μείζων ἐστὶν ὀρθῆς. πάλιν ἐπεὶ ἡ ὑπὸ τῶν ΑΓ, ΑΖ εὐθειῶν ὀρθή ἐστιν, ἡ ἄρα ὑπὸ τῆς ΓΑ εὐθείας καὶ τῆς ΑΔ[Γ] περιφερείας περιεχομένη ἐλάττων ἐστὶν ὀρθῆς.

Ἐν κύκλῳ ἄρα ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν, ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ὀρθῆς, ἡ δὲ ἐν τῷ ἐλάττονι [τμήματι] μείζων ὀρθῆς, καὶ ἔτι ἡ μὲν τοῦ μείζονος τμήματος [γωνία] μείζων [ἐστὶν] ὀρθῆς, ἡ δὲ τοῦ ἐλάττονος τμήματος [γωνία] ἐλάττων ὀρθῆς· ὅπερ ἔδει δεῖξαι.


[Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν [ἡ] μία γωνία τριγώνου ταῖς δυσὶν ἴση ᾖ, ὀρθή ἐστιν ἡ γωνία διὰ τὸ καὶ τὴν ἐκείνης ἐκτὸς ταῖς αὐταῖς ἴσην εἶναι· ἐὰν δὲ αἱ ἐφεξῆς ἴσαι ὦσιν, ὀρθαί εἰσιν].

λβ'.

Ἐὰν κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς εἰς τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ, ἴσαι ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις.

Κύκλου γὰρ τοῦ ΑΒΓΔ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ ἀπὸ τοῦ Β σημείου διήχθω τις εὐθεῖα εἰς τὸν ΑΒΓΔ κύκλον τέμνουσα αὐτὸν ἡ ΒΔ. λέγω, ὅτι ἃς ποιεῖ γωνίας ἡ ΒΔ μετὰ τῆς ΕΖ ἐφαπτομένης, ἴσαι ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τμήμασι τοῦ κύκλου γωνίαις, τουτέστιν, ὅτι ἡ μὲν ὑπὸ ΖΒΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ΒΑΔ τμήματι συνισταμένῃ γωνίᾳ, ἡ δὲ ὑπὸ ΕΒΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ΔΓΒ τμήματι συνισταμένῃ γωνίᾳ.



Ἤχθω γὰρ ἀπὸ τοῦ Β τῇ ΕΖ πρὸς ὀρθὰς ἡ ΒΑ, καὶ εἰλήφθω ἐπὶ τῆς ΒΔ περιφερείας τυχὸν σημεῖον τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ, ΓΒ.

Καὶ ἐπεὶ κύκλου τοῦ ΑΒΓΔ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ κατὰ τὸ Β καὶ ἀπὸ

Καὶ ἐπειδὴ ὑπάρχει τετράπλευρον εἰς κύκλον, τὸ ΑΒΓΔ, τῶν δὲ εἰς κύκλον τετραπλεύρων αἱ ἀπέναντι γωνίαι εἶναι ἴσαι πρὸς δύο ὀρθάς (III. 22), [ἕπεται ὅτι αἱ γωνίαι ΑΒΓ, ΑΔΓ εἶναι ἴσαι πρὸς δύο ὀρθάς], καὶ εἶναι ἡ ΑΒΓ μικροτέρα ὀρθῆς· ἄρα ἡ ὑπόλοιπος, ἡ ΑΔΓ γωνία, εἶναι μεγαλυτέρα ὀρθῆς· καὶ εὑρίσκεται αὕτη εἰς τὸ τμῆμα ΑΔΓ, τὸ ὁποῖον εἶναι μικρότερον τοῦ ἡμικυκλίου.

Λέγω ἀκόμη, ὅτι καὶ ἡ μὲν τοῦ μεγαλυτέρου τμήματος γωνία ἡ περιεχομένη ὑπὸ τοῦ τόξου ΑΒΓ καὶ τῆς εὐθείας ΑΓ εἶναι μεγαλυτέρα ὀρθῆς, ἡ δὲ τοῦ μικροτέρου τμήματος γωνία ἡ περιεχομένη ὑπὸ τοῦ τόξου ΑΔΓ καὶ τῆς εὐθείας ΑΓ εἶναι μικροτέρα ὀρθῆς. Καὶ εἶναι τοῦτο φανερὸν ἀπὸ τὸ σχῆμα. Διότι, ἐπειδὴ ἡ γωνία ἡ σχηματιζομένη ὑπὸ τῶν εὐθειῶν ΒΑ, ΑΓ εἶναι ὀρθή, ἕπεται, ὅτι ἡ γωνία ἡ περιεχομένη ὑπὸ τοῦ τόξου ΑΒΓ καὶ τῆς εὐθείας ΑΓ εἶναι μεγαλυτέρα ὀρθῆς. Πάλιν, ἐπειδὴ ἡ ὑπὸ τῶν εὐθειῶν ΑΓ, ΑΖ γωνία εἶναι ὀρθή, ἕπεται, ὅτι ἡ ὑπὸ τῆς εὐθείας ΓΑ καὶ τοῦ τόξου ΑΔΓ, εἶναι μικροτέρα ὀρθῆς.

Εἰς κύκλον ἄρα, ἡ μὲν εἰς τὸ ἡμικύκλιον γωνία εἶναι ὀρθή, ἡ δὲ εὑρισκομένη εἰς τὸ μεγαλύτερον τμῆμα εἶναι μικροτέρα ὀρθῆς, ἡ δὲ εἰς τὸ μικρότερον τμῆμα μεγαλυτέρα ὀρθῆς· καὶ ἀκόμη ἡ μὲν γωνία τοῦ μεγαλυτέρου τμήματος εἶναι μεγαλυτέρα ὀρθῆς, ἡ δὲ γωνία τοῦ μικροτέρου τμήματος μικροτέρα ὀρθῆς· ὅπερ ἔδει δεῖξαι.

[Πόρισμα.

Ἐκ τῶν ἀνωτέρω εἶναι φανερόν, ὅτι ἐὰν ἡ μία γωνία τριγώνου εἶναι ἴση πρὸς τὰς ἄλλας δύο, ἡ γωνία εἶναι ὀρθή, διότι εἶναι ἴση πρὸς ταύτην καὶ ἡ ἐκτὸς γωνία ἡ ὁποία ἰσοῦται πρὸς τὰς ἄλλας (ἐντὸς) δύο· ἐὰν δὲ αἱ ἐφεξῆς εἶναι ἴσαι, εἶναι ὀρθαί].

32.

Ἐὰν εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τῆς ἐπαφῆς ἀχθῇ εἰς τὸν κύκλον εὐθεῖά τις τέμνουσα τὸν κύκλον, αἱ γωνίαι τὰς ὁποίας σχηματίζει ἡ εὐθεῖα μετὰ τῆς ἐφαπτομένης, θὰ εἶναι ἴσαι πρὸς τὰς γωνίας τὰς κειμένας εἰς τὰ ἐναλλὰξ τοῦ κύκλου τμήματα.

Διότι, ἂς ἐφάπτετα τοῦ κύκλου ΑΒΓΔ εὐθεῖά τις ἡ ΕΖ κατὰ τὸ σημεῖον Β, καὶ ἀπὸ τοῦ σημείου Β ἂς ἀχθῇ εὐθεῖά τις εἰς τὸν κύκλον ΑΒΓΔ, τέμνουσα αὐτὸν ἡ ΒΔ. Λέγω, ὅτι αἱ γωνίαι τὰς ὁποίας σχηματίζει ἡ ΒΔ μετὰ τῆς ἐφαπτομένης ΕΖ, θὰ εἶναι ἴσαι πρὸς τὰς εἰς τὰ ἐναλλὰξ τμήματα τοῦ κύκλου γωνίας, τουτέστιν, ὅτι ἡ μὲν γωνία ΖΒΔ εἶναι ἴση πρὸς τὴν εἰς τὸ τμῆμα ΒΑΔ κατασκευαζομένην γωνίαν (δηλ. τὴν ἐγγεγραμμένην, τὴν ἔχουσαν τὴν κορυφὴν εἰς τὸ τόξον ΒΑΔ καὶ βαίνουσαν ἐπὶ τοῦ τόξου ΒΓΔ), ἡ δὲ γωνία ΕΒΔ εἶναι ἴση πρὸς τὴν εἰς τὸ τμῆμα ΔΓΒ κατασκευαζομένην γωνίαν.

Διότι, ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Β ἡ ΒΑ, κάθετος ἐπὶ τὴν ΕΖ, καὶ ἂς ληφθῇ ἐπὶ τοῦ τόξου ΒΔ, τυχὸν σημεῖον τὸ Γ, καὶ ἂς ἀχθοῦν αἱ ΑΔ, ΔΓ, ΓΒ.

Καὶ ἐπειδὴ τοῦ κύκλου ΑΒΓΔ ἐφάπτεται εὐθεῖά τις ἡ ΕΖ κατὰ τὸ σημεῖον

τῆς ἁφῆς ἦκται τῇ ἐφαπτομένῃ πρὸς ὀρθὰς ἡ ΒΑ, ἐπὶ τῆς ΒΑ ἄρα τὸ κέντρον ἐστὶ τοῦ ΑΒΓΔ κύκλου. ἡ ΒΑ ἄρα διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου· ἡ ἄρα ὑπὸ ΑΔΒ γωνία ἐν ἡμικυκλίῳ οὖσα ὀρθή ἐστιν. λοιπαὶ ἄρα αἱ ὑπὸ ΒΑΔ, ΑΒΔ μιᾷ ὀρθῇ ἴσαι εἰσίν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΒΖ ὀρθή· ἡ ἄρα ὑπὸ ΑΒΖ ἴση ἐστὶ ταῖς ὑπὸ ΒΑΔ, ΑΒΔ. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΑΒΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΖ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι τοῦ κύκλου γωνίᾳ τῇ ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ΑΒΓΔ, αἱ ἀπεναντίον αὐτοῦ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΔΒΖ, ΔΒΕ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΔΒΖ, ΔΒΕ ταῖς ὑπὸ ΒΑΔ, ΒΓΔ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ ΒΑΔ τῇ ὑπὸ ΔΒΖ ἐδείχθη ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΔΒΕ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΔΓΒ τῇ ὑπὸ ΔΓΒ γωνίᾳ ἐστὶν ἴση.


Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς εἰς τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ, ἴσαι ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις· ὅπερ ἔδει δεῖξαι.

λγ'.

Ἐπὶ τῆς δοθείσης εὐθείας γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Γ· δεῖ δὴ ἐπὶ τῆς δοθείσης εὐθείας τῆς ΑΒ γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Ἡ δὴ πρὸς τῷ Γ [γωνία] ἤτοι ὀξεῖά ἐστιν ἢ ὀρθὴ ἢ ἀμβλεῖα· ἔστω πρότερον ὀξεῖα, καὶ ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ Α σημείῳ τῇ πρὸς τῷ Γ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΑΔ· ὀξεῖα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ ΒΑΔ. ἤχθω τῇ ΔΑ πρὸς ὀρθὰς ἡ ΑΕ, καὶ τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Ζ, καὶ ἤχθω ἀπὸ τοῦ Ζ σημείου τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΗΒ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, κοινὴ δὲ ἡ ΖΗ, δύο δὴ αἱ ΑΖ, ΖΗ δύο ταῖς ΒΖ, ΖΗ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΖΗ [γωνίᾳ] τῇ ὑπὸ ΒΖΗ ἴση· βάσις ἄρα ἡ ΑΗ βάσει τῇ ΒΗ ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ Η διαστήματι δὲ τῷ ΗΑ κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Β. γεγράφθω καὶ ἔστω ὁ ΑΒΕ, καὶ ἐπεζεύχθω ἡ ΕΒ. ἐπεὶ οὖν ἀπ' ἄκρας τῆς ΑΕ διαμέτρου ἀπὸ τοῦ Α τῇ ΑΕ πρὸς ὀρθάς ἐστιν ἡ ΑΔ, ἡ ΑΔ ἄρα ἐφάπτεται τοῦ ΑΒΕ κύκλου· ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΕ ἐφάπτεταί τις εὐθεῖα ἡ ΑΔ, καὶ ἀπὸ τῆς κατὰ τὸ Α ἁφῆς εἰς τὸν ΑΒΕ κύκλον διῆκταί τις εὐθεῖα ἡ ΑΒ, ἡ

Β καὶ ἀπὸ τοῦ σημείου τῆς ἐπαφῆς ἔχει ἀχθῆ ἡ ΒΑ κάθετος ἐπὶ τὴν ἐφαπτομένην, ἕπεται, ὅτι τὸ κέντρον τοῦ κύκλου ΑΒΓΔ εὑρίσκεται ἐπὶ τῆς ΒΑ (III. 19). Ἄρα ἡ ΒΑ εἶναι διάμετρος τοῦ κύκλου ΑΒΓΔ· ἡ γωνία ἄρα ΑΔΒ εὑρισκομένη εἰς ἡμικύκλιον εἶναι ὀρθή (III. 31). Αἱ λοιπαὶ ἄρα γωνίαι (τοῦ τριγώνου) αἱ ΒΑΔ, ΑΒΔ ἰσοῦνται μὲ μίαν ὀρθήν (I. 32). Εἶναι δὲ καὶ ἡ ΑΒΖ ὀρθή· ἄρα ἡ ΑΒΖ εἶναι ἴση πρὸς τὰς ΒΑΔ, ΑΒΔ. Ἂς ἀφαιρεθῇ (ἀπὸ τὰς δύο ὀρθὰς) ἡ κοινὴ ΑΒΔ· ἄρα ἡ ἀπομένουσα γωνία ΔΒΖ εἶναι ἴση πρὸς τὴν εἰς τὸ ἐναλλὰξ τμῆμα τοῦ κύκλου ἀπομένουσαν γωνίαν ΒΑΔ. Καὶ ἐπειδὴ ὑπάρχει εἰς τὸν κύκλον (ἐγγεγραμμ.) τὸ τετράπλευρον ΑΒΓΔ, αἱ ἀπέναντι γωνίαι αὐτοῦ ἰσοῦνται μὲ δύο ὀρθάς (III. 22). Εἶναι δὲ καὶ αἱ ΔΒΖ, ΔΒΕ ἴσαι μὲ δύο ὀρθάς (I. 13)· ἄρα, αἱ ΔΒΖ, ΔΒΕ εἶναι ἴσαι πρὸς τὰς ΒΑΔ, ΒΓΔ, ἐκ τῶν ὁποίων ἡ ΒΑΔ ἐδείχθη ὅτι εἶναι ἴση πρὸς τὴν ΔΒΖ· ἄρα (ἀφαιρουμένων τῶν ἴσων) ἡ ἀπομένουσα ΔΒΕ εἶναι ἴση πρὸς τὴν ἀπομένουσαν γωνίαν ΔΓΒ, τὴν εὑρισκομένην εἰς τὸ ἐναλλὰξ τμῆμα τοῦ κύκλου, τὸ ΔΓΒ.

Ἐὰν ἄρα εὐθεῖά τις ἐφάπτεται κύκλου, ἀπὸ δὲ τῆς ἐπαφῆς ἀχθῇ εὐθεῖά τις τέμνουσα τὸν κύκλον, αἱ γωνίαι τὰς ὁποίας σχηματίζει ἡ εὐθεῖα μετὰ τῆς ἐφαπτομένης, θὰ εἶναι ἴσαι πρὸς τὰς γωνίας τὰς κειμένας εἰς τὰ ἐναλλὰξ τοῦ κύκλου τμήματα· ὅπερ ἔδει δεῖξαι.

33.

Ἐπὶ τῆς δοθείσης εὐθείας νὰ γραφῇ τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν.


Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ ΑΒ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ Γ· πρέπει ἐπὶ τῆς δοθείσης εὐθείας τῆς ΑΒ, νὰ γραφῇ τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην πρὸς τὴν Γ.

Ἡ γωνία Γ θὰ εἶναι ἢ ὀξεῖα ἢ ὀρθὴ ἢ ἀμβλεῖα· ἔστω πρότερον, ὅτι εἶναι ὀξεῖα, καὶ ὡς εἰς τὸ πρῶτον σχῆμα, ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ μὲ κορυφὴν τὸ σημεῖον Α γωνία ἴση πρὸς τὴν Γ ἡ ΒΑΔ (I. 23)· ἄρα καὶ ἡ ΒΑΔ εἶναι ὀξεῖα. Ἂς ἀχθῇ ἡ ΑΕ κάθετος ἐπὶ τὴν ΔΑ, καὶ ἂς τμηθῇ εἰς τὸ μέσον ἡ ΑΒ κατὰ τὸ σημεῖον Ζ, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ σημείου Ζ ἡ ΖΗ κάθετος ἐπὶ τὴν ΑΒ καὶ ἂς ἀχθῇ ἡ ΗΒ.

Καὶ ἐπειδὴ ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΒ, κοινὴ δὲ ἡ ΖΗ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΖ, ΖΗ ἴσαι πρὸς τὰς δύο τὰς ΒΖ, ΖΗ· καὶ ἡ γωνία ΑΖΗ εἶναι ἴση πρὸς τὴν ΒΖΗ· ἄρα καὶ ἡ βάσις ΑΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΗ (I. 4). Ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον μὲν τὸ Η ἀκτῖνα δὲ τὴν ΗΑ θὰ διέλθῃ καὶ διὰ τοῦ Β. Ἂς γραφῇ οὗτος καὶ ἔστω ὁ ΑΒΕ καὶ ἂς ἀχθῇ ἡ ΕΒ. Ἐπειδὴ λοιπὸν εἰς τὸ ἄκρον τῆς διαμέτρου ΑΕ ἀπὸ τοῦ σημείου Α ἡ ΑΔ εἶναι κάθετος, ἕπεται, ὅτι ἡ ΑΔ ἐφάπτεται τοῦ κύκλου ΑΒΕ (III. 16 πόρ.)· ἐπειδὴ λοιπὸν τοῦ κύκλου ΑΒΕ ἐφάπτεται εὐθεῖά τις ἡ ΑΔ καὶ ἀπὸ τοῦ σημείου ἐπαφῆς Α ἔχει διαχθῇ εἰς τὸν κύκλον ΑΒΕ εὐθεῖά τις ἡ ΑΒ, ἕπεται, ὅτι ἡ γωνία ΔΑΒ εἶναι ἴση πρὸς τὴν

ἄρα ὑπὸ ΔΑΒ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ ΑΕΒ. ἀλλ' ἡ ὑπὸ ΔΑΒ τῇ πρὸς τῷ Γ ἐστιν ἴση· καὶ ἡ πρὸς τῷ Γ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΑΕΒ.

Ἐπὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ τμῆμα κύκλου γέγραπται τὸ ΑΕΒ δεχόμενον γωνίαν τὴν ὑπὸ ΑΕΒ ἴσην τῇ δοθείσῃ τῇ πρὸς τῷ Γ.




Ἀλλὰ δὴ ὀρθὴ ἔστω ἡ πρὸς τῷ Γ· καὶ δέον πάλιν ἔστω ἐπὶ τῆς ΑΒ γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ ὀρθῇ [γωνίᾳ]· συνεστάτω [πάλιν] τῇ πρὸς τῷ Γ ὀρθῇ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΑΔ, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Ζ, καὶ κέντρῳ τῷ Ζ, διαστήματι δὲ ὁποτέρῳ τῶν ΖΑ, ΖΒ, κύκλος γεγράφθω ὁ ΑΕΒ.

Ἐφάπτεται ἄρα ἡ ΑΔ εὐθεῖα τοῦ ΑΒΕ κυκλου διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τῷ Α γωνίαν. καὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΔ γωνία τῇ ἐν τῷ ΑΕΒ τμήματι· ὀρθὴ γὰρ καὶ αὐτὴ ἐν ἡμικυκλίῳ οὖσα. ἀλλὰ καὶ ἡ ὑπὸ ΒΑΔ τῇ πρὸς τῷ Γ ἴση ἐστίν. καὶ ἡ ἐν τῷ ΑΕΒ ἄρα ἴση ἐστὶ τῇ πρὸς τῷ Γ.

Γέγραπται ἄρα πάλιν ἐπὶ τῆς ΑΒ τμῆμα κύκλου τὸ ΑΕΒ δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Ἀλλὰ δὴ ἡ πρὸς τῷ Γ ἀμβλεῖα ἔστω· καὶ συνεστάτω αὐτῇ ἴση πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ Α σημείῳ ἡ ὑπὸ ΒΑΔ, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ τῇ ΑΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΕ, καὶ τετμήσθω πάλιν ἡ ΑΒ δίχα κατὰ τὸ Ζ, καὶ τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΗΒ.



Καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ ΑΖ τῇ ΖΒ, καὶ κοινὴ ἡ ΖΗ, δύο δὴ αἱ ΑΖ, ΖΗ δύο ταῖς ΒΖ, ΖΗ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΖΗ γωνίᾳ τῇ ὑπὸ ΒΖΗ ἴση· βάσις ἄρα ἡ ΑΗ βάσει τῇ ΒΗ ἴση ἐστίν· ὁ ἄρα κέντρῳ μὲν τῷ Η διαστήματι δὲ τῷ ΗΑ κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ Β. ἐρχέσθω ὡς ὁ ΑΕΒ. καὶ ἐπεὶ τῇ ΑΕ διαμέτρῳ ἀπ' ἄκρας πρὸς ὀρθάς ἐστιν ἡ ΑΔ, ἡ ΑΔ ἄρα ἐφάπτεται τοῦ ΑΕΒ κύκλου. καὶ ἀπὸ τῆς κατὰ τὸ Α ἐπαφῆς διῆκται ἡ ΑΒ· ἡ ἄρα ὑπὸ ΒΑΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ ΑΘΒ συνισταμένῃ γωνίᾳ. ἀλλ' ἡ ὑπὸ ΒΑΔ γωνία τῇ πρὸς τῷ Γ ἴση ἐστίν. καὶ ἡ ἐν τῷ ΑΘΒ ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Γ.

Ἐπὶ τῆς ἄρα δοθείσης εὐθείας τῆς ΑΒ γέγραπται τμῆμα κύκλου τὸ ΑΘΒ δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ· ὅπερ ἔδει ποιῆσαι.

λδ'.

Ἀπὸ τοῦ δοθέντος κύκλου τμῆμα ἀφελεῖν δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς

εἰς τὸ ἐναλλὰξ τμῆμα τοῦ κύκλου γωνίαν τὴν ΑΕΒ (III. 32). Ἀλλὰ ἡ ΔΑΒ εἶναι ἴση πρὸς τὴν Γ· ἄρα καὶ ἡ γωνία Γ εἶναι ἴση πρὸς τὴν ΑΕΒ.

Ἐπὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ ἔχει γραφῆ τμῆμα κύκλου τὸ ΑΕΒ δεχόμενον τὴν γωνίαν ΑΕΒ ἴσην πρὸς τὴν δοθεῖσαν Γ.

Ἀλλ' ἔστω τώρα, ὅτι ἡ γωνία Γ εἶναι ὀρθή· καὶ ὅτι πρέπει πάλιν νὰ γραφῇ ἐπὶ τῆς ΑΒ τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην πρὸς τὴν ὀρθὴν γωνίαν Γ. Ἂς κατασκευασθῇ πάλιν γωνία, ἡ ΒΑΔ, ἴση πρὸς τὴν ὀρθὴν Γ, ὅπως εἶναι εἰς τὸ δεύτερον σχῆμα, καὶ ἂς τμηθῇ ἡ ΑΒ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Ζ καὶ μὲ κέντρον τὸ Ζ, ἀκτῖνα δὲ μίαν τῶν ΖΑ, ΖΒ, ἂς γραφῇ κύκλος ὁ ΑΕΒ.

Ἡ εὐθεῖα ΑΔ ἐφάπτεται ἄρα τοῦ κύκλου ΑΒΕ, διότι ἡ παρὰ το Α γωνία εἶναι ὀρθή (πόρ. III. 16). Καὶ ἡ γωνία ΒΑΔ εἶναι ἴση πρὸς τὴν εἰς τὸ τμῆμα ΑΕΒ· διότι καὶ αὕτη εὑρισκομένη εἰς ἡμικύκλιον εἶναι ὀρθή (III. 31). Ἀλλὰ καὶ ἡ ΒΑΔ εἶναι ἴση πρὸς τὴν Γ. Ἄρα καὶ ἡ εἰς τὸ τμῆμα ΑΕΒ εἶναι ἴση πρὸς τὴν Γ.

Ἄρα ἔχει γραφῆ πάλιν ἐπὶ τῆς ΑΒ τμῆμα κύκλου τὸ ΑΕΒ δεχόμενον γωνίαν ἴσην πρὸς τὴν Γ.

Ἀλλ' ἀκόμη ἔστω ἡ γωνία Γ ἀμβλεῖα· καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΒ καὶ μὲ κορυφὴν τὸ σημεῖον Α γωνία ἴση πρὸς αὐτὴν ἡ ΒΑΔ, ὅπως εἶναι εἰς τὸ τρίτον σχῆμα, καὶ ἂς ἀχθῇ ἡ ΑΕ κάθετος ἐπὶ τὴν ΑΔ, καὶ ἂς τμηθῇ πάλιν ἡ ΑΒ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Ζ, καὶ ἂς ἀχθῇ ἡ ΖΗ κάθετος ἐπὶ τὴν ΑΒ καὶ ἂς ἀχθῇ ἡ ΗΒ.

Καὶ ἐπειδὴ πάλιν ἡ Α εἶναι ἴση πρὸς τὴν ΖΒ, καὶ κοινὴ ἡ ΖΗ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΑΖ, ΖΗ ἴσαι πρὸς τὰς δύο τὰς ΒΖ, ΖΗ καὶ ἡ γωνία ΑΖΗ εἶναι ἴση πρὸς τὴν ΒΖΗ· ἄρα ἡ βάσις ΑΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΗ (I.4)· ὁ κύκλος ἄρα ὁ γραφόμενος μὲ κέντρον μὲν τὸ Η ἀκτῖνα δὲ τὴν ΗΛ θὰ διέλθῃ καὶ διὰ τοῦ Β. Ἂς διέρχεται δέ, ὅπως ὁ ΑΕΒ. Καὶ ἐπειδὴ ἀπὸ τὸ ἄκρον τῆς διαμέτρου ΑΕ ἄγεται ἡ ΑΔ κάθετος, ἕπεται, ὅτι ἡ ΑΔ ἐφάπτεται τοῦ κύκλου ΑΕΒ (πόρ. III. 16). Καὶ ἀπὸ τοῦ σημείου τῆς ἐπαφῆς Α ἔχει ἀχθῇ ἡ ΑΒ· ἄρα ἡ γωνία ΒΑΔ εἶναι ἴση πρὸς τὴν εἰς τὸ ἐναλλὰξ τμῆμα ΑΘΒ τοῦ κύκλου κατεσκευασμένην γωνίαν (III. 32). Ἀλλὰ ἡ γωνία ΒΑΔ εἶναι ἴση πρὸς τὴν Γ. Ἄρα καὶ ἡ εἰς τὸ τμῆμα ΑΘΒ γωνία εἶναι ἴση πρὸς τὴν Γ.

Ἐπὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ ἔχει γραφῆ τμῆμα κύκλου τὸ ΑΘΒ δεχόμενον γωνίαν ἴσην πρὸς τὴν Γ· ὅπερ ἔδει ποιῆσαι.

34.

Ἀπὸ τοῦ δοθέντος κύκλου ν' ἀφαιρεθῇ τμῆμα δεχόμενον γωνίαν ἴσην πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθύγραμμος γωνία ἡ Δ·

τῷ Δ· δεῖ δὴ ἀπὸ τοῦ ΑΒΓ κύκλου τμῆμα ἀφελεῖν δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ.

Ἤχθω τοῦ ΑΒΓ ἐφαπτομένη ἡ ΕΖ κατὰ τὸ Β σημεῖον, καὶ συνεστάτω πρὸς τῇ ΖΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ πρὸς τῷ Δ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΒΓ.

Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΕΖ, καὶ ἀπὸ τῆς κατὰ τὸ Β ἐπαφῆς διῆκται ἡ ΒΓ, ἡ ὑπὸ ΖΒΓ ἄρα γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ΒΑΓ ἐναλλὰξ τμήματι συνισταμένῃ γωνίᾳ. ἀλλ' ἡ ὑπὸ ΖΒΓ τῇ πρὸς τῷ Δ ἐστιν ἴση· καὶ ἡ ἐν τῷ ΒΑΓ ἄρα τμήματι ἴση ἐστὶ τῇ πρὸς τῷ Δ [γωνίᾳ].

Ἀπὸ τοῦ δοθέντος ἄρα κύκλου τοῦ ΑΒΓ τμῆμα ἀφῄρηται τὸ ΒΑΓ δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ· ὅπερ ἔδει ποιῆσαι.

λε'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν γὰρ κύκλῳ τῷ ΑΒΓΔ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Εἰ μὲν οὖν αἱ ΑΓ, ΒΔ διὰ τοῦ κέντρου εἰσὶν ὥστε τὸ Ε κέντρον εἶναι τοῦ ΑΒΓΔ κύκλου, φανερόν, ὅτι ἴσων οὐσῶν τῶν ΑΕ, ΕΓ, ΔΕ, ΕΒ καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Μὴ ἔστωσαν δὴ αἱ ΑΓ, ΔΒ διὰ τοῦ κέντρου, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὰς ΑΓ, ΔΒ εὐθείας κάθετοι ἤχθωσαν αἱ ΖΗ, ΖΘ, καὶ ἐπεζεύχθωσον αἱ ΖΒ, ΖΓ, ΖΕ.

Καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΗΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἴση ἄρα ἡ ΑΗ τῇ ΗΓ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΓ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε, τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΕΗ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΓ· [κοινὸν] προσκείσθω τὸ ἀπὸ τῆς ΗΖ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τῶν ἀπὸ τῶν ΗΕ, ΗΖ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΖ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΕΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΕ, τοῖς δὲ ἀπὸ τῶν ΓΗ, ΗΖ

πρέπει ἀπὸ τοῦ κύκλου ΑΒΓ ν' ἀφαιρεθῇ τμῆμα τὸ ὁποῖον νὰ δέχεται γωνίαν ἴσην πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν τὴν Δ.

Ἂς ἀχθῇ ἡ ΕΖ ἐφαπτομένη τοῦ κύκλου ΑΒΓ κατὰ τὸ σημεῖον Β, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΖΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον τὸ Β γωνία ἴση πρὸς τὴν Δ ἡ ΖΒΓ (I.23).

Ἐπειδὴ λοιπὸν ἐφάπτεται τοῦ κύκλου ΑΒΓ εὐθεῖά τις ἡ ΕΖ, καὶ ἀπὸ τῆς κατὰ τὸ σημεῖον Β ἐπαφῆς ἔχει ἀχθῇ ἡ ΒΓ, ἕπεται, ὅτι ἡ γωνία ΖΒΓ εἶναι ἴση πρὸς τὴν εἰς τὸ ἐναλλὰξ τμῆμα ΒΑΓ κατασκευασθεῖσαν γωνίαν (III. 32). Ἀλλὰ ἡ ΖΒΓ εἶναι ἴση πρὸς τὴν Δ· ἄρα καὶ ἡ εἰς τὸ τμῆμα ΒΑΓ γωνία εἶναι ἴση πρὸς τὴν γωνίαν Δ.

Ἀπὸ τοῦ δοθέντος ἄρα κύκλου τοῦ ΑΒΓ, ἔχει ἀφαιρεθῇ τὸ τμῆμα ΒΑΓ, τὸ ὁποῖον δέχεται γωνίαν ἴσην πρὸς τὴν δοθεῖσαν εὐθύγραμμον γωνίαν τὴν Δ· ὅπερ ἔδει ποιῆσαι.

35.


Ἐὰν εἰς κύκλον δύο εὐθεῖαι τέμνωνται μεταξύ των, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς μιᾶς εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς ἄλλης.

Διότι, ἂς τέμνωνται μεταξύ των εἰς κύκλον τὸν ΑΒΓΔ δύο εὐθεῖαι, αἱ ΑΓ, ΒΔ κατὰ τὸ σημεῖον Ε· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΔΕ, ΕΒ.

Ἐὰν μὲν αἱ ΑΓ, ΒΔ διέρχωνται διὰ τοῦ κέντρου, ὥστε τὸ Ε νὰ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓΔ, εἶναι φανερόν, ὅτι ἐπειδὴ αἱ ΑΕ, ΕΓ, ΔΕ, ΕΒ εἶναι ἴσαι, καὶ τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΔΕ, ΕΒ.

Ἂς μὴ διέρχωνται τώρα διὰ τοῦ κέντρου αἱ εὐθεῖαι ΑΓ, ΔΒ, καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἂς ἀχθοῦν κάθετοι ἐπὶ τὰς εὐθείας ΑΓ, ΔΒ αἱ ΖΗ, ΖΘ, καὶ ἂς ἀχθοῦν αἱ ΖΒ, ΖΓ, ΖΕ.

Καὶ ἐπειδὴ εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου ἡ ΗΖ τέμνει καθέτως εὐθεῖάν τινα μὴ διερχομένην διὰ τοῦ κέντρου τὴν ΑΓ, τέμνει αὐτὴν εἰς τὸ μέσον (III. 3)· ἄρα ἡ ΑΗ εἶναι ἴση πρὸς τὴν ΗΓ. Ἐπειδὴ λοιπὸν ἡ εὐθεῖα ΑΓ ἔχει τμηθῇ εἰς ἴσα μὲν κατὰ τὸ Γ, εἰς ἄνισα δὲ κατὰ τὸ Ε, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ τετραγώνου τῆς ΕΗ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΗΓ (II. 5)· ἂς προστεθῇ εἰς ἀμφότερα τὸ τετράγωνον τῆς ΗΖ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τῶν τετραγώνων τῶν ΗΕ, ΗΖ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΓΗ, ΓΖ. Ἀλλὰ πρὸς μὲν τὰ τετράγωνα τῶν ΕΗ, ΗΖ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΖΕ, πρὸς δὲ τὰ τετράγωνα τῶν ΓΗ, ΗΖ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΖΓ (I.47)· ἄρα τὸ ὀρθογώ-



ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΓ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον τῷ ἀπὸ τῆς ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.


Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖαι δύο τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ· ὅπερ ἔδει δεῖξαι.

λϛ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται, ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓ[Α], ΔΒ· καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν ΑΒΓ κύκλον, ἡ δὲ ΒΔ ἐφαπτέσθω· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ τετραγώνῳ.

Ἡ ἄρα [Δ]ΓΑ ἤτοι διὰ τοῦ κέντρου ἐστὶν ἢ οὔ. ἔστω πρότερον διὰ τοῦ κέντρου, καὶ ἔστω τὸ Ζ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἐπεζεύχθω ἡ ΖΒ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΒΔ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ δίχα τέτμηται κατὰ τὸ Ζ, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ, τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. τῷ δὲ ἀπὸ τῆς ΖΔ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΖΒ, ΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ ἐφαπτομένης.



ἀλλὰ δὴ ἡ ΔΓΑ μὴ ἔστω διὰ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου, καὶ εἰλήφθω τὸ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΓ κάθετος ἤχθω ἡ ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ, ΕΔ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΕΒΔ. καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου

νιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΓ (Ι.47). Εἶναι δὲ ἴση ἡ ΖΓ πρὸς τὴν ΖΒ· ἄρα τὸ ὀρθογώνιον τῶν ΑΕ, ΕΓ μετὰ τοῦ τετραγώνου τῆς ΕΖ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΒ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὸ ὀρθογώνιον τῶν ΔΕ, ΕΒ μετὰ τοῦ τετραγώνου τῆς ΖΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΒ. Ἐδείχθη δέ, ὅτι καὶ τὸ ὀρθογώνιον τῶν ΑΕ, ΕΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΕ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΒ· ἄρα τὸ ὀρθογώνιον τῶν ΑΕ, ΕΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΕ εἶναι ἴσα πρὸς τὸ ὀρθογώνιον τῶν ΔΕ, ΕΒ μετὰ τοῦ τετραγώνου τῆς ΖΕ. Ἄς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ τετράγωνον τῆς ΖΕ· τὸ ἀπομένον ἄρα ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΕ, ΕΓ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΔΕ, ΕΒ.

Ἐὰν ἄρα εἰς κύκλον δύο εὐθεῖαι τέμνωνται μεταξύ των, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς μιᾶς εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς ἄλλης· ὅπερ ἔδει δεῖξαι.

36.

Ἐὰν ληφθῇ σημεῖόν τι ἐκτὸς κύκλου, καὶ προσπίπτουν ἀπ' αὐτοῦ δύο εὐθεῖαι πρὸς τὸν κύκλον καὶ ἡ μὲν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτεται, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τοῦ μεταξὺ τοῦ σημείου καὶ τῆς κυρτῆς περιφερείας μέρους αὐτῆς θὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ἐφαπτομένης.

Διότι, ἂς ληφθῇ σημεῖόν τι τὸ Δ ἐκτὸς τοῦ κύκλου ΑΒΓ καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν κύκλον ΑΒΓ ἂς προσπίπτουν δύο εὐθεῖαι, αἱ ΔΓΑ, ΔΒ· καὶ ἡ μὲν ΔΓΑ ἂς τέμνῃ τὸν κύκλον ΑΒΓ, ἡ δὲ ΒΔ ἂς ἐφάπτεται· λέγω, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΒ.

Ἡ ΔΓΑ ἢ θὰ διέρχεται ἢ δὲν θὰ διέρχεται διὰ τοῦ κέντρου. Ἔστω πρότερον, ὅτι διέρχεται διὰ τοῦ κέντρου, καὶ ἔστω Ζ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ, καὶ ἂς ἀχθῇ ἡ ΖΒ· ἄρα ἡ ΖΒΔ εἶναι ὀρθή (III. 28). Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΑΓ ἔχει τμηθῆ εἰς τὸ μέσον κατὰ τὸ Ζ, πρόσκειται δὲ εἰς αὐτὴν ἡ ΓΔ, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΓ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΔ (II. 6). Εἶναι δὲ ἡ ΖΓ ἴση πρὸς τὴν ΖΒ· ἄρα τὸ ὀρθογώνιον τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΒ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΔ. Πρὸς τὸ τετράγωνον δὲ τῆς ΖΔ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΖΒ, ΒΔ (I. 47)· ἄρα τὸ ὀρθογώνιον τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΖΒ, ΒΔ. Ἄς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ τετράγωνον τῆς ΖΒ· ἄρα τὸ ἀπομένον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ἐφαπτομένης ΔΒ.

Ἀλλ' ἀκόμη ἔστω, ὅτι ἡ ΔΓΑ δὲν διέρχεται διὰ τοῦ κέντρου τοῦ κύκλου ΑΒΓ, καὶ ἂς ληφθῇ τὸ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἂς ἀχθῇ ἡ ΕΖ κάθετος ἐπὶ τὴν ΑΓ, καὶ ἂς ἀχθοῦν αἱ ΕΒ, ΕΓ, ΕΔ· ἄρα ἡ ΕΒΔ εἶναι ὀρθή (III. 28). Καὶ

τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἡ ΑΖ ἄρα τῇ ΖΓ ἐστιν ἴση. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ τέτμηται δίχα κατὰ τὸ Ζ σημεῖον, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ, τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΖΕ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τῶν ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΔ, ΖΕ. τοῖς δὲ ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΓ· ὀρθὴ γάρ [ἐστιν] ἡ ὑπὸ ΕΖΓ [γωνία]· τοῖς δὲ ἀπὸ τῶν ΔΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. ἴση δὲ ἡ ΕΓ τῇ ΕΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. τῷ δὲ ἀπὸ τῆς ΕΔ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΒ, ΒΔ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΕΒΔ γωνία· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΕΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΕΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται, ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

λζ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ᾖ δὲ τὸ ὑπὸ [τῆς] ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης, ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓΑ, ΔΒ, καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν κύκλον, ἡ δὲ ΔΒ προσπιπτέτω, ἔστω δὲ τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον τῷ ἀπὸ τῆς ΔΒ. λέγω, ὅτι ἡ ΔΒ ἐφάπτεται τοῦ ΑΒΓ κύκλου.

Ἤχθω γὰρ τοῦ ΑΒΓ ἐφαπτομένη ἡ ΔΕ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΕ, ΖΒ, ΖΔ. ἡ ἄρα ὑπὸ ΖΕΔ ὀρθή ἐστιν καὶ ἐπεὶ ἡ ΔΕ ἐφάπτεται τοῦ ΑΒΓ κύκλου, τέμνει δὲ ἡ ΔΓΑ, τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΕ. ἦν δὲ καὶ τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον τῷ

ἐπειδὴ εὐθεῖά τις διερχομένη διὰ τοῦ κέντρου, ἡ ΕΖ, τέμνει καθέτως εὐθεῖάν τινα τὴν ΑΓ μὴ διερχομένην διὰ τοῦ κέντρου, τέμνει αὐτὴν εἰς τὸ μέσον (III. 3)· ἄρα ἡ ΑΖ εἶναι ἴση πρὸς τὴν ΖΓ. Καὶ ἐπειδὴ εὐθεῖα ἡ ΑΓ ἔχει τμηθῆ εἰς τὸ μέσον κατὰ τὸ σημεῖον Ζ, πρόσκειται δὲ εἰς αὐτὴν ἡ ΓΔ, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΖΓ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΖΔ (II. 6). Ἂς προστεθῇ εἰς ἀμφότερα τὸ τετράγωνον τῆς ΖΕ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τῶν τετραγώνων τῶν ΓΖ, ΖΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΖΔ, ΖΕ. Πρὸς δὲ τὰ τετράγωνα τῶν ΓΖ, ΖΕ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΓ (I. 47)· διότι ἡ γωνία ΕΖΓ εἶναι ὀρθή· πρὸς δὲ τὰ τετράγωνα τῶν ΔΖ, ΖΕ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΕΔ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΕΓ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΕΔ. Εἶναι δὲ ἡ ΕΓ ἴση πρὸς τὴν ΕΒ· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΕΒ εἶναι ἴσα πρὸς τὸ τετράγωνον τῆς ΕΔ. Πρὸς δὲ τὸ τετράγωνον τῆς ΕΔ εἶναι ἴσα τὰ τετράγωνα τῶν ΕΒ, ΒΔ (I. 47)· διότι ἡ γωνία ΕΒΔ εἶναι ὀρθή· ἄρα τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ τετραγώνου τῆς ΕΒ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΕΒ, ΒΔ. Ἂς ἀφαιρεθῇ ἀπὸ ἀμφότερα τὸ τετράγωνον τῆς ΕΒ· ἄρα τὸ ἀπομένον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΒ.


Ἐὰν ἄρα ληφθῇ σημεῖόν τι ἐκτὸς κύκλου, καὶ προσπίπτουν ἀπ' αὐτοῦ δύο εὐθεῖαι πρὸς τὸν κύκλον, καὶ ἡ μὲν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτεται, τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τοῦ μεταξὺ τοῦ σημείου καὶ τῆς κυρτῆς περιφερείας μέρους αὐτῆς θὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ἐφαπτομένης· ὅπερ ἔδει δεῖξαι.

37.

Ἐὰν ληφθῇ σημεῖόν τι ἐκτὸς κύκλου, ἀπὸ δὲ τοῦ σημείου προσπίπτουν δύο εὐθεῖαι πρὸς τὸν κύκλον, καὶ ἡ μὲν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, εἶναι δὲ τὸ ὀρθογώνιον τὸ λαμβανόμενον ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τοῦ μέρους αὐτῆς τοῦ περιλαμβανομένου ἀπὸ τοῦ σημείου μέχρι τῆς κυρτῆς περιφερείας ἴσον πρὸς τὸ τετράγωνον τῆς προσπιπτούσης, ἡ προσπίπτουσα θὰ ἐφάπτεται τοῦ κύκλου.

Διότι, ἂς ληφθῇ σημεῖόν τι τὸ Δ κείμενον ἐκτὸς τοῦ κύκλου ΑΒΓ, καὶ ἀπὸ τοῦ Δ ἂς προσπίπτουν πρὸς τὸν κύκλον ΑΒΓ δύο εὐθεῖαι αἱ ΔΓΑ, ΔΒ, καὶ ἡ μὲν ΔΓΑ ἂς τέμνῃ τὸν κύκλον, ἡ δὲ ΔΒ ἂς προσπίπτῃ, ἔστω δὲ τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΒ. Λέγω, ὅτι ἡ ΔΒ ἐφάπτεται τοῦ κύκλου ΑΒΓ.

Διότι, ἂς ἀχθῇ ἡ ΔΕ ἐφαπτομένη τοῦ κύκλου ΑΒΓ (III.27), καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ, καὶ ἔστω τὸ Ζ, καὶ ἂς ἀχθοῦν αἱ ΖΕ, ΖΒ, ΖΔ. Ἄρα ἡ ΖΕΔ εἶναι ὀρθή (III. 28). Καὶ ἐπειδὴ ἡ ΔΕ ἐφάπτεται τοῦ κύλου ΑΒΓ, ἡ δὲ ΔΓΑ τέμνει τὸν κύκλον, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΔ, ΔΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΕ (III. 36). Ἦτο δὲ καὶ τὸ



ἀπὸ τῆς ΔΒ· τὸ ἄρα ἀπὸ τῆς ΔΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΒ. ἔστι δὲ καὶ ἡ ΖΕ τῇ ΖΒ ἴση· δύο δὴ αἱ ΔΕ, ΕΖ δύο ταῖς ΔΒ, ΒΖ ἴσαι εἰσίν· καὶ βάσις αὐτῶν κοινὴ ἡ ΖΔ· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίᾳ τῇ ὑπὸ ΔΒΖ ἐστιν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔΕΖ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΔΒΖ. καὶ ἔστιν ἡ ΖΒ ἐκβαλλομένη διάμετρος· ἡ δὲ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ᾽ ἄκρας ἀγομένη ἐφάπτεται τοῦ κύκλου· ἡ ΔΒ ἄρα ἐφάπτεται τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δειχθήσεται, κἂν τὸ κέντρον ἐπὶ τῆς ΑΓ τυγχάνῃ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ᾖ δὲ τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης, ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

ὀρθογώνιον τῶν ΑΔ, ΔΓ ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΒ· ἄρα τὸ τετράγωνον τῆς ΔΕ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΔΒ· ἄρα ἡ ΔΕ εἶναι ἴση πρὸς τὴν ΔΒ. Εἶναι δὲ καὶ ἡ ΖΕ ἴση πρὸς τὴν ΖΒ· ὑπάρχουν λοιπὸν δύο εὐθεῖαι αἱ ΔΕ, ΕΖ ἴσαι πρὸς δύο τὰς ΔΒ, ΒΖ· καὶ βάσις αὐτῶν (τῶν τριγώνων) εἶναι ἡ κοινὴ ΖΔ· ἄρα ἡ γωνία ΔΕΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΒΖ (I. 8). Εἶναι δὲ ὀρθὴ ἡ ΔΕΖ· ἄρα καὶ ἡ ΔΒΖ εἶναι ὀρθή. Καὶ εἶναι ἡ ΖΒ ἐκβαλλομένη διάμετρος (ἀρχίζουσα ἀπὸ τὸ Β, διερχομένη διὰ τοῦ Ζ καὶ προεκτεινομένη)· ἡ εὐθεῖα δὲ ἡ ὁποία ἄγεται κάθετος εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου ἐφάπτεται τοῦ κύκλου (πόρ. III. 16)· ἄρα ἡ ΔΒ ἐφάπτεται τοῦ κύκλου ΑΒΓ. Καθ' ὅμοιον τρόπον θ' ἀποδειχθῇ, καὶ ἂν τὸ κέντρον εὑρίσκεται ἐπὶ τῆς ΑΓ.

Ἐὰν ἄρα ληφθῇ σημεῖόν τι ἐκτὸς κύκλου, ἀπὸ δὲ τοῦ σημείου προσπίπτουν δύο εὐθεῖαι πρὸς τὸν κύκλον, καὶ ἡ μὲν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, εἶναι δὲ τὸ ὀρθογώνιον τὸ λαμβανόμενον ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τοῦ μέρους αὐτῆς τοῦ περιλαμβανομένου ἀπὸ τοῦ σημείου μέχρι τῆς κυρτῆς περιφερείας ἴσον πρὸς τὸ τετράγωνον τῆς προσπιπτούσης, ἡ προσπίπτουσα θὰ ἐφάπτεται τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ὅροι.

α'. *Σχῆμα εὐθύγραμμον εἰς σχῆμα εὐθύγραμμον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη τῶν τοῦ ἐγγραφομένου σχήματος γωνιῶν ἑκάστης πλευρᾶς, τοῦ εἰς ὃ ἐγγράφεται, ἅπτηται.*

β'. *Σχῆμα δὲ ὁμοίως περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἑκάστης γωνίας, τοῦ περὶ ὃ περιγράφεται, ἅπτηται.*

γ'. *Σχῆμα εὐθύγραμμον εἰς κύκλον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἅπτηται τῆς τοῦ κύκλου περιφερείας.*

δ'. *Σχῆμα δὲ εὐθύγραμμον περὶ κύκλον περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἐφάπτηται τῆς τοῦ κύκλου περιφερείας.*

ε'. *Κύκλος δὲ εἰς σχῆμα ὁμοίως ἐγγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης πλευρᾶς, τοῦ εἰς ὃ ἐγγράφεται, ἅπτηται.*


ϛ'. *Κύκλος δὲ περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης γωνίας, τοῦ περὶ ὃ περιγράφεται, ἅπτηται.*

ζ'. *Εὐθεῖα εἰς κύκλον ἐναρμόζεσθαι λέγεται, ὅταν τὰ πέρατα αὐτῆς ἐπὶ τῆς περιφερείας ᾖ τοῦ κύκλου.*

α'.

Εἰς τὸν δοθέντα κύκλον τῇ δοθείσῃ εὐθείᾳ μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθεῖα μὴ μείζων τῆς τοῦ κύκλου διαμέτρου ἡ Δ. δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴσην εὐθεῖαν ἐναρμόσαι.



Ἤχθω τοῦ ΑΒΓ κύκλου διάμετρος ἡ ΒΓ. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΓ τῇ Δ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· ἐνήρμοσται γὰρ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴση ἡ ΒΓ. εἰ δὲ μείζων ἐστὶν ἡ ΒΓ τῆς Δ, κείσθω τῇ Δ ἴση ἡ ΓΕ, καὶ κέντρῳ τῷ Γ διαστήματι δὲ τῷ ΓΕ κύκλος γεγράφθω ὁ ΕΑΖ, καὶ ἐπεζεύχθω ἡ ΓΑ.

Ἐπεὶ οὖν τὸ Γ σημεῖον κέντρον ἐστὶ τοῦ ΕΑΖ κύκλου, ἴση ἐστὶν ἡ ΓΑ τῇ ΓΕ. ἀλλὰ τῇ Δ ἡ ΓΕ ἐστιν ἴση· καὶ ἡ Δ ἄρα τῇ ΓΑ ἐστιν ἴση.

ΒΙΒΛΙΟΝ IV.

Ὁρισμοί.

1. Σχῆμα εὐθύγραμμον λέγεται, ὅτι ἐγγράφεται εἰς εὐθύγραμμον σχῆμα, ὅταν ἑκάστη τῶν γωνιῶν τοῦ ἐγγραφομένου σχήματος ἐφάπτεται ἑκάστης πλευρᾶς τοῦ σχήματος, εἰς τὸ ὁποῖον ἐγγράφεται.

2. Ὁμοίως δὲ λέγεται, ὅτι σχῆμα περιγράφεται περὶ σχῆμα, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἐφάπτεται ἑκάστης γωνίας τοῦ σχήματος, περὶ τὸ ὁποῖον περιγράφεται.

3. Σχῆμα εὐθύγραμμον λέγεται, ὅτι ἐγγράφεται εἰς κύκλον, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἐφάπτεται τῆς περιφερείας τοῦ κύκλου.

4. Σχῆμα δὲ εὐθύγραμμον λέγεται, ὅτι περιγράφεται εἰς κύκλον, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἐφάπτεται τῆς περιφερείας τοῦ κύκλου.

5. Ὁμοίως δὲ λέγεται, ὅτι κύκλος ἐγγράφεται εἰς σχῆμα, ὅταν ἡ περιφέρεια τοῦ κύκλου ἐφάπτεται ἑκάστης πλευρᾶς τοῦ σχήματος, εἰς τὸ ὁποῖον ἐγγράφεται.

6. Κύκλος δὲ λέγεται, ὅτι περιγράφεται περὶ σχῆμα, ὅταν ἡ περιφέρεια τοῦ κύκλου ἐφάπτεται ἑκάστης γωνίας τοῦ σχήματος, εἰς τὸ ὁποῖον περιγράφεται.

7. Εὐθεῖα λέγεται, ὅτι ἐναρμόζεται εἰς κύκλον, ὅταν τὰ πέρατα αὐτῆς εἶναι ἐπὶ τῆς περιφερείας τοῦ κύκλου.

1.

Εἰς τὸν δοθέντα κύκλον νὰ ἐναρμόσωμεν εὐθεῖαν ἴσην πρὸς τὴν δοθεῖσαν εὐθεῖαν, ἡ ὁποία νὰ μὴν εἶναι μεγαλυτέρα τῆς διαμέτρου τοῦ κύκλου.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ Δ, ἡ ὁποία νὰ μὴ εἶναι μεγαλυτέρα τῆς διαμέτρου τοῦ κύκλου. Πρέπει εἰς τὸν κύκλον ΑΒΓ νὰ ἐναρμόσωμεν εὐθεῖαν ἴσην πρὸς τὴν εὐθεῖαν Δ.

Ἂς ἀχθῇ ἡ ΒΓ διάμετρος τοῦ κύκλου ΑΒΓ. Ἐὰν μὲν ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν Δ, τὸ προσταχθὲν εἶναι γεγονός· διότι εἰς τὸν κύκλον ΑΒΓ ἔχει ἐναρμοσθῇ ἡ ΒΓ ἴση πρὸς τὴν εὐθεῖαν Δ. Ἐὰν δὲ ἡ ΒΓ εἶναι μεγαλυτέρα τῆς Δ, ἂς ληφθῇ ἡ ΓΕ ἴση πρὸς τὴν Δ, καὶ μὲ κέντρον τὸ Γ ἀκτῖνα δὲ τὴν ΓΕ ἂς γραφῇ κύκλος ὁ ΕΑΖ, καὶ ἂς ἀχθῇ ἡ ΓΑ.

Ἐπειδὴ λοιπὸν τὸ σημεῖον Γ εἶναι κέντρον τοῦ κύκλου ΕΑΖ, ἡ ΓΑ εἶναι ἴση πρὸς τὴν ΓΕ. Ἀλλὰ ἡ ΓΕ εἶναι ἴση πρὸς τὴν Δ· ἄρα καὶ ἡ Δ εἶναι ἴση πρὸς τὴν ΓΑ.

Εἰς ἄρα τὸν δοθέντα κύκλον τὸν ΑΒΓ τῇ δοθείσῃ εὐθείᾳ τῇ Δ ἴση ἐνήρμοσται ἡ ΓΑ· ὅπερ ἔδει ποιῆσαι.

β'.

Εἰς τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῷ ΔΕΖ τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου ἐφαπτομένη ἡ ΗΘ κατὰ τὸ Α, καὶ συνεστάτω πρὸς τῇ ΑΘ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΘΑΓ, πρὸς δὲ τῇ ΑΗ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Α τῇ ὑπὸ ΔΖΕ [γωνίᾳ] ἴση ἡ ὑπὸ ΗΑΒ, καὶ ἐπεζεύχθω ἡ ΒΓ.

Ἐπεὶ οὖν κύκλου τοῦ ΑΒΓ ἐφάπτεταί τις εὐθεῖα ἡ ΑΘ, καὶ ἀπὸ τῆς κατὰ τὸ Α ἐπαφῆς εἰς τὸν κύκλον διῆκται εὐθεῖα ἡ ΑΓ, ἡ ἄρα ὑπὸ ΘΑΓ ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ ΑΒΓ. ἀλλ' ἡ ὑπὸ ΘΑΓ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα γωνία τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΓ λοιπῇ τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση· [ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓ κύκλον.]

Εἰς τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

γ'.

Περὶ τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· δεῖ δὴ περὶ τὸν ΑΒΓ κύκλον τῷ ΔΕΖ τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

Ἐκβεβλήσθω ἡ ΕΖ ἐφ' ἑκάτερα τὰ μέρη κατὰ τὰ Η, Θ σημεῖα, καὶ εἰλήφθω τοῦ ΑΒΓ κύκλου κέντρον τὸ Κ, καὶ διήχθω, ὡς ἔτυχεν, εὐθεῖα ἡ ΚΒ, καὶ συνεστάτω πρὸς τῇ ΚΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Κ τῇ μὲν ὑπὸ ΔΕΗ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΚΑ, τῇ δὲ ὑπὸ ΔΖΘ ἴση ὑπὸ ΒΚΓ, καὶ διὰ τῶν Α, Β, Γ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ΑΒΓ κύκλου αἱ ΛΑΜ, ΜΒΝ, ΝΓΛ.

Καὶ ἐπεὶ ἐφάπτονται τοῦ ΑΒΓ κύκλου αἱ ΛΜ, ΜΝ, ΝΛ κατὰ τὰ Α, Β, Γ σημεῖα, ἀπὸ δὲ τοῦ Κ κέντρου ἐπὶ τὰ Α, Β, Γ σημεῖα ἐπεζευγμέναι εἰσὶν αἱ ΚΑ

Εἰς τὸν δοθέντα ἄρα κύκλον τὸν ΑΒΓ ἔχει ἐναρμοσθῆ ἡ ΓΑ ἴση πρὸς τὴν δοθεῖσαν εὐθεῖαν τὴν Δ· ὅπερ ἔδει ποιῆσαι.

2.

Εἰς τὸν δοθέντα κύκλον πρὸς τὸ δοθὲν τρίγωνον νὰ ἐγγραφῇ ἰσογώνιον τρίγωνον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· πρέπει εἰς τὸν κύκλον ΑΒΓ νὰ ἐγγραφῇ ἰσογώνιον τρίγωνον πρὸς τὸ τρίγωνον ΔΕΖ.

Ἂς ἀχθῇ ἐφαπτομένη τοῦ κύκλου κατὰ τὸ σημεῖον Α ἡ ΗΘ (III. 17) καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΑΘ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Α ἡ γωνία ΘΑΓ ἴση πρὸς τὴν γωνίαν ΔΕΖ, καὶ ἐπὶ τῆς εὐθείας ΑΗ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Α ἡ γωνία ΗΑΒ ἴση πρὸς τὴν γωνίαν ΔΖΕ (I. 23), καὶ ἂς ἀχθῇ ἡ ΒΓ.

Ἐπειδὴ λοιπὸν τοῦ κύκλου ΑΒΓ ἐφάπτεται εὐθεῖά τις, ἡ ΑΘ, καὶ ἀπὸ τοῦ σημείου τῆς ἐπαφῆς Α ἔχει ἀχθῆ εἰς τὸν κύκλον ἡ εὐθεῖα ΑΓ, ἕπεται, ὅτι ἡ γωνία ΘΑΓ εἶναι ἴση πρὸς τὴν εἰς τὸ ἐναλλὰξ τμῆμα τοῦ κύκλου γωνίαν, τὴν ΑΒΓ (III. 32). Ἀλλὰ ἡ ΘΑΓ εἶναι ἴση πρὸς τὴν ΔΕΖ· ἄρα καὶ ἡ γωνία ΑΒΓ εἶναι ἴση πρὸς τὴν ΔΕΖ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ γωνία ΑΓΒ εἶναι ἴση πρὸς τὴν ΔΖΕ· ἄρα καὶ ἡ ἀπομένουσα ἡ ΒΑΓ εἶναι ἴση πρὸς τὴν ἀπομένουσαν τὴν ΕΔΖ (I. 32)· ἄρα τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΔΕΖ, καὶ ἔχει ἐγγραφῆ εἰς τὸν κύκλον ΑΒΓ.

Εἰς τὸν δοθέντα ἄρα κύκλον πρὸς τὸ δοθὲν τρίγωνον ἔχει ἐγγραφῆ ἰσογώνιον τρίγωνον· ὅπερ ἔδει ποιῆσαι.

3.

Περὶ τὸν δοθέντα κύκλον πρὸς τὸ δοθὲν τρίγωνον νὰ περιγραφῇ ἰσογώνιον τρίγωνον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔΕΖ· πρέπει περὶ τὸν κύκλον ΑΒΓ νὰ περιγραφῇ ἰσογώνιον τρίγωνον πρὸς τὸ τρίγωνον ΔΕΖ.

Ἂς προεκβληθῇ ἡ ΕΖ καὶ ἀπὸ τὰ δύο αὐτῆς μέρη κατὰ τὰ σημεῖα Η, Θ, καὶ ἂς ληφθῇ τοῦ κύκλου ΑΒΓ κέντρον τὸ Κ καὶ ἂς ἀχθῇ ἐκ τούτου τυχοῦσα εὐθεῖα, ἡ ΚΒ, καὶ ἂς κατασκευασθῇ ἐπὶ τῆς εὐθείας ΚΒ καὶ μὲ κορυφὴν τὸ ἐπ' αὐτῆς σημεῖον Κ, πρὸς μὲν τὴν γωνίαν ΔΕΗ ἴση ἡ ΒΚΑ, πρὸς δὲ τὴν ΔΖΘ ἴση ἡ ΒΚΓ (I. 23), καὶ διὰ τῶν σημείων Α, Β, Γ, ἂς ἀχθοῦν ἐφαπτόμεναι τοῦ κύκλου ΑΒΓ αἱ ΛΑΜ, ΜΒΝ, ΝΓΛ (III. 17).

Καὶ ἐπειδὴ τοῦ κύκλου ΑΒΓ ἐφάπτονται αἱ ΛΜ, ΜΝ, ΝΛ κατὰ τὰ σημεῖα Α, Β, Γ, ἀπὸ δὲ τοῦ κέντρου Κ ἔχουν ἀχθῆ πρὸς τὰ σημεῖα Α, Β, Γ αἱ ΚΑ, ΚΒ,

ΚΒ, ΚΓ, ὀρθαὶ ἄρα εἰσὶν αἱ πρὸς τοῖς Α, Β, Γ σημείοις γωνίαι. καὶ ἐπεὶ τοῦ ΑΜΒΚ τετραπλεύρου αἱ τέσσαρες γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν, ἐπειδήπερ καὶ εἰς δύο τρίγωνα διαιρεῖται τὸ ΑΜΒΚ, καί εἰσιν ὀρθαὶ αἱ ὑπὸ ΚΑΜ, ΚΒΜ γωνίαι, λοιπαὶ ἄρα αἱ ὑπὸ ΑΚΒ, ΑΜΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΔΕΗ, ΔΕΖ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΑΚΒ, ΑΜΒ ταῖς ὑπὸ ΔΕΗ, ΔΕΖ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ ΑΚΒ τῇ ὑπὸ ΔΕΗ ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΜΒ λοιπῇ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἡ ὑπὸ ΛΝΒ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΜΛΝ [λοιπῇ] τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΛΜΝ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· καὶ περιγέγραπται περὶ τὸν ΑΒΓ κύκλον.


Περὶ τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

δ'.

Εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ εἰς τὸ ΑΒΓ τρίγωνον κύκλον ἐγγράψαι.

Τετμήσθωσαν αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δίχα ταῖς ΒΔ, ΓΔ εὐθείαις, καὶ συμβαλλέτωσαν ἀλλήλαις κατὰ τὸ Δ σημεῖον, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΑ εὐθείας κάθετοι αἱ ΔΕ, ΔΖ, ΔΗ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία τῇ ὑπὸ ΓΒΔ, ἐστὶ δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΕΔ ὀρθῇ τῇ ὑπὸ ΒΖΔ ἴση, δύο δὴ τρίγωνά ἐστι τὰ ΕΒΔ, ΖΒΔ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν κοινὴν αὐτῶν τὴν ΒΔ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΗ τῇ ΔΖ ἐστιν ἴση. αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΔΕ, ΔΖ, ΔΗ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Δ καὶ διαστήματι ἑνὶ τῶν Ε, Ζ, Η κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΑ εὐθειῶν διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Ε, Ζ, Γ σημείοις γωνίας. εἰ γὰρ τεμεῖ αὐτάς, ἔσται ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐντὸς πίπτουσα τοῦ κύκλου· ὅπερ ἄτοπον ἐδείχθη· οὐκ ἄρα ὁ κέντρῳ τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν Ε, Ζ, Η γραφόμενος κύκλος τεμεῖ τὰς ΑΒ, ΒΓ, ΓΑ εὐθείας· ἐφάψεται ἄρα αὐτῶν, καὶ ἔσται ὁ κύκλος ἐγγεγραμμένος εἰς τὸ ΑΒΓ τρίγωνον. ἐγγεγράφθω ὡς ὁ ΖΗΕ.

Εἰς ἄρα τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλος ἐγγέγραπται ὁ ΕΖΗ· ὅπερ ἔδει ποιῆσαι.

ΚΓ, ἔπεται, ὅτι αἱ πρὸς τὰ σημεῖα Α, Β, Γ, γωνίαι εἶναι ὀρθαί (ΙΙΙ. 18). Καὶ ἐπειδὴ αἱ τέσσαρες γωνίαι τοῦ τετραπλεύρου ΑΜΒΚ εἶναι ἴσαι πρὸς τέσσαρας ὀρθάς, διότι τὸ ΑΜΒΚ διαιρεῖται εἰς δύο τρίγωνα (Ι. 32), καὶ αἱ γωνίαι ΚΑΜ, ΚΒΜ εἶναι ὀρθαί, ἔπεται, ὅτι αἱ ἀπομένουσαι ΑΚΒ, ΑΜΒ ἰσοῦνται μὲ δύο ὀρθάς. Εἶναι δὲ καὶ αἱ ΔΕΗ, ΔΕΖ ἴσαι μὲ δύο ὀρθάς (Ι. 13)· ἄρα αἱ ΑΚΒ, ΑΜΒ εἶναι ἴσαι πρὸς τὰς ΔΕΗ ΔΕΖ, ἐκ τῶν ὁποίων ἡ ΑΚΒ εἶναι ἴση πρὸς τὴν ΔΕΗ· ἄρα ἡ ἀπομένουσα ἡ ΑΜΒ εἶναι ἴση πρὸς τὴν ἀπομένουσαν τὴν ΔΕΖ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἡ ΛΝΒ εἶναι ἴση πρὸς τὴν ΔΖΕ· ἄρα καὶ ἡ ἀπομένουσα ἡ ΜΛΝ εἶναι ἴση πρὸς τὴν ἀπομένουσαν τὴν ΕΔΖ. Ἄρα τὸ τρίγωνον ΛΜΝ εἶναι ἰσογώνιον πρὸς τὸ τρίγωνον ΔΕΖ· καὶ εἶναι τοῦτο περιγεγραμμένον περὶ τὸν κύκλον ΑΒΓ.

Περὶ τὸν δοθέντα ἄρα κύκλον πρὸς τὸ δοθὲν τρίγωνον περιεγράφη ἰσογώνιον τρίγωνον· ὅπερ ἔδει ποιῆσαι.

4.

Εἰς τὸ δοθὲν τρίγωνον νὰ ἐγγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· πρέπει εἰς τὸ τρίγωνον ΑΒΓ νὰ ἐγγραφῇ κύκλος.

Ἂς διχοτομηθοῦν αἱ γωνίαι ΑΒΓ, ΑΓΒ διὰ τῶν εὐθειῶν ΒΔ, ΓΔ (Ι.9), καὶ ἂς συμβάλλουν μεταξύ των αἱ εὐθεῖαι κατὰ τὸ σημεῖον Δ (Ι. αἴτ. 5), καὶ ἂς ἀχθοῦν ἀπὸ τοῦ Δ ἐπὶ τὰς εὐθείας ΑΒ, ΒΓ, ΓΑ κάθετοι αἱ ΔΕ, ΔΖ, ΔΗ.

Καὶ ἐπειδὴ ἡ γωνία ΑΒΔ εἶναι ἴση πρὸς τὴν ΓΒΔ, εἶναι δὲ καὶ ἡ ὀρθὴ ΒΕΔ ἴση πρὸς τὴν ὀρθὴν ΒΖΔ, ὑπάρχουν δύο τρίγωνα τὰ ΕΒΔ, ΖΒΔ ἔχοντα δύο γωνίας ἴσας πρὸς δύο γωνίας καὶ μίαν πλευρὰν ἴσην πρὸς μίαν πλευράν, δηλ. κοινὴν τὴν ἀπέναντι (ὑποτείνουσαν) μιᾶς τῶν ἴσων γωνιῶν, τὴν ΒΔ· ἄρα θὰ ἔχουν καὶ τὰς λοιπὰς πλευρὰς ἴσας πρὸς τὰς λοιπάς (Ι. 26)· ἄρα ἡ ΔΕ εἶναι ἴση πρὸς τὴν ΔΖ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΔΗ εἶναι ἴση πρὸς τὴν ΔΖ· ἄρα αἱ τρεῖς εὐθεῖαι αἱ ΔΕ, ΔΖ, ΔΗ εἶναι μεταξύ των ἴσαι· ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Δ καὶ ἀκτῖνα μίαν τῶν ΔΕ, ΔΖ, ΔΗ (εἰς τὸν κώδικα ἐλλείπει τὸ γράμμα Δ) θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ ἐφάπτεται τῶν εὐθειῶν ΑΒ, ΒΓ, ΓΑ, διότι αἱ κατὰ τὰ σημεῖα Ε, Ζ, Η γωνίαι εἶναι ὀρθαί. Διότι, ἐὰν θὰ τέμνῃ ὁ κύκλος αὐτάς, τότε ἡ εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου ἀγομένη κάθετος θὰ πίπτῃ ἐντὸς τοῦ κύκλου· πρᾶγμα τὸ ὁποῖον ἀπεδείχθη ἄτοπον (ΙΙΙ. 16)· ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Δ καὶ ἀκτῖνα μίαν τῶν ΔΕ, ΔΖ, ΔΗ δὲν θὰ τέμνῃ τὰς εὐθείας ΑΒ, ΒΓ, ΓΑ· ἑπομένως θὰ ἐφάπτεται αὐτῶν καὶ θὰ εἶναι ὁ κύκλος ἐγγεγραμμένος εἰς τὸ τρίγωνον ΑΒΓ. Ἂς γραφῇ, ὅπως ὁ ΖΗΕ.

Εἰς τὸ δοθὲν ἄρα τρίγωνον τὸ ΑΒΓ ἔχει ἐγγραφῇ κύκλος ὁ ΕΖΗ· ὅπερ ἔδει ποιῆσαι.

ε'.

Περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ περὶ τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ κύκλον περιγράψαι.


Τετμήσθωσαν αἱ ΑΒ, ΑΓ εὐθεῖαι δίχα κατὰ τὰ Δ, Ε σημεῖα, καὶ ἀπὸ τῶν Δ, Ε σημείων ταῖς ΑΒ, ΑΓ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖ, ΕΖ· συμπεσοῦνται δὴ ἤτοι ἐντὸς τοῦ ΑΒΓ τριγώνου ἢ ἐπὶ τῆς ΒΓ εὐθείας ἢ ἐκτὸς τῆς ΒΓ.

Συμπιπτέτωσαν πρότερον ἐντὸς κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΑ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΖ, βάσις ἄρα ἡ ΑΖ βάσει τῇ ΖΒ ἐστιν ἴση. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΓΖ τῇ ΑΖ ἐστιν ἴση· ὥστε καὶ ἡ ΖΒ τῇ ΖΓ ἐστιν ἴση· αἱ τρεῖς ἄρα αἱ ΖΑ, ΖΒ, ΖΓ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν Α, Β, Γ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος ὁ κύκλος περὶ τὸ ΑΒΓ τρίγωνον. περιγεγράφθω ὡς ὁ ΑΒΓ.

Ἀλλὰ δὴ αἱ ΔΖ, ΕΖ συμπιπτέτωσαν ἐπὶ τῆς ΒΓ εὐθείας κατὰ τὸ Ζ, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ ἐπεζεύχθω ἡ ΑΖ. ὁμοίως δὴ δείξομεν, ὅτι τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ περὶ τὸ ΑΒΓ τρίγωνον περιγραφομένου κύκλου.

Ἀλλὰ δὴ αἱ ΔΖ, ΕΖ συμπιπτέτωσαν ἐκτὸς τοῦ ΑΒΓ τριγώνου κατὰ τὸ Ζ πάλιν, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΒΖ, ΓΖ. καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΖ, βάσις ἄρα ἡ ΑΖ βάσει τῇ ΒΖ ἐστιν ἴση. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΓΖ τῇ ΑΖ ἐστιν ἴση· ὥστε καὶ ΒΖ τῇ ΖΓ ἐστιν ἴση· ὁ ἄρα [πάλιν] κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ ἔσται περιγεγραμμένος περὶ τὸ ΑΒΓ τρίγωνον.

Περὶ τὸ δοθὲν ἄρα τρίγωνον κύκλος περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.



[Πόρισμα.]

Καὶ φανερόν, ὅτι, ὅτε μὲν ἐντὸς τοῦ τριγώνου πίπτει τὸ κέντρον τοῦ κύκλου, ἡ ὑπὸ ΒΑΓ γωνία ἐν μείζονι τμήματι τοῦ ἡμικυκλίου τυγχάνουσα ἐλάττων ἐστὶν ὀρθῆς· ὅτε δὲ ἐπὶ τῆς ΒΓ εὐθείας τὸ κέντρον πίπτει, ἡ ὑπὸ ΒΑΓ γωνία ἐν ἡμικυκλίῳ τυγχάνουσα ὀρθή ἐστιν, ὅτε δὲ τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ τριγώνου πίπτει, ἡ ὑπὸ ΒΑΓ ἐν ἐλάττονι τμήματι τοῦ ἡμικυκλίου τυγχάνουσα μείζων ἐστὶν ὀρθῆς. [ὥστε καὶ ὅταν ἐλάττων ὀρθῆς τυγχάνῃ ἡ διδομένη γωνία, ἐντὸς τοῦ τριγώνου πεσοῦνται αἱ ΔΖ, ΕΖ, ὅταν δὲ ὀρθή, ἐπὶ τῆς ΒΓ, ὅταν δὲ μείζων ὀρθῆς , ἐκτὸς τῆς ΒΓ· ὅπερ ἔδει ποιῆσαι.]

5.

Περὶ τὸ δοθὲν τρίγωνον νὰ περιγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· πρέπει περὶ τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ νὰ περιγραφῇ κύκλος.

Ἂς διχοτομηθοῦν αἱ εὐθεῖαι ΑΒ, ΑΓ κατὰ τὰ σημεῖα Δ, Ε, καὶ ἀπὸ τῶν σημείων Δ, Ε ἂς ἀχθοῦν ἐπὶ τὰς εὐθείας ΑΒ, ΑΓ κάθετοι αἱ ΔΖ, ΕΖ· αὗται θὰ συμπέσουν ἢ ἐντὸς τοῦ τριγώνου ΑΒΓ ἢ ἐπὶ τῆς εὐθείας ΒΓ ἢ ἐκτὸς τῆς ΒΓ.

Ἂς συμπέσουν πρότερον ἐντὸς κατὰ τὸ σημεῖον Ζ, καὶ ἂς ἀχθοῦν αἱ ΖΒ, ΖΓ, ΖΑ. Καὶ ἐπειδὴ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΒ, κοινὴ δὲ καὶ κάθετος ἡ ΔΖ, ἕπεται, ὅτι ἡ βάσις ΑΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΒ (1.4). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἡ ΓΖ εἶναι ἴση πρὸς τὴν ΑΖ· ὥστε καὶ ἡ ΖΒ εἶναι ἴση πρὸς τὴν ΖΓ· αἱ τρεῖς ἄρα αἱ ΖΑ, ΖΒ, ΖΓ εἶναι μεταξύ των ἴσαι (κοιναὶ ἔνν. 1). Ὁ γραφόμενος ἄρα κύκλος μὲ κέντρον τὸ Ζ καὶ ἀκτῖνα μίαν τῶν ΖΑ, ΖΒ, ΖΓ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ εἶναι περιγεγραμμένος ὁ κύκλος περὶ τὸ τρίγωνον ΑΒΓ. Ἂς περιγραφῇ ὅπως ὁ ΑΒΓ.

Ἀλλ' ἂς συμπίπτουν τώρα αἱ ΔΖ, ΕΖ ἐπὶ τῆς ΒΓ κατὰ τὸ Ζ, ὅπως συμβαίνει τοῦτο εἰς τὸ δεύτερον σχῆμα, καὶ ἂς ἀχθῇ ἡ ΑΖ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι τὸ σημεῖον Ζ εἶναι κέντρον τοῦ περὶ τὸ τρίγωνον ΑΒΓ περιγραφομένου κύκλου.

Ἀλλὰ ἂς συμπίπτουν αἱ ΔΖ, ΕΖ ἐκτὸς τοῦ τριγώνου ΑΒΓ πάλιν κατὰ τὸ Ζ, ὅπως συμβαίνει τοῦτο εἰς τὸ τρίτον σχῆμα, καὶ ἂς ἀχθοῦν αἱ ΑΖ, ΒΖ, ΓΖ. Καὶ ἐπειδὴ πάλιν ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΔΒ, εἶναι δὲ κοινὴ καὶ κάθετος ἡ ΔΖ, ἕπεται, ὅτι ἡ βάσις ΑΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΒΖ (1.4). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἡ ΓΖ εἶναι ἴση πρὸς τὴν ΑΖ· ὥστε καὶ ἡ ΒΖ εἶναι ἴση πρὸς τὴν ΖΓ· ἄρα πάλιν ὁ κύκλος γραφόμενος μὲ κέντρον τὸ Ζ ἀκτῖνα δὲ μίαν τῶν ΖΑ, ΖΒ, ΖΓ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων, καὶ θὰ εἶναι περιγεγραμμένος περὶ τὸ τρίγωνον ΑΒΓ.

Περὶ τὸ δοθὲν ἄρα τρίγωνον ἔχει περιγραφῇ κύκλος· ὅπερ ἔδει ποιῆσαι.

[Πόρισμα.]


Καὶ εἶναι φανερόν, ὅτι, ὅτε μὲν τὸ κέντρον τοῦ κύκλου πίπτει ἐντὸς τοῦ τριγώνου, ἡ γωνία ΒΑΓ, εὑρισκομένη εἰς τμῆμα μεγαλύτερον ἡμικυκλίου εἶναι μικροτέρα ὀρθῆς· ὅτε δὲ τὸ κέντρον πίπτει ἐπὶ τῆς εὐθείας ΒΓ, ἡ γωνία ΒΑΓ εὑρισκομένη εἰς ἡμικύκλιον εἶναι ὀρθή· ὅτε δὲ τὸ κέντρον τοῦ κύκλου πίπτει ἐκτὸς τοῦ τριγώνου, ἡ ΒΑΓ εὑρισκομένη εἰς τμῆμα μικρότερον τοῦ ἡμικυκλίου εἶναι μεγαλυτέρα ὀρθῆς. [Ὥστε καὶ ὅταν ἡ διδομένη γωνία εἶναι μικροτέρα ὀρθῆς, αἱ ΔΖ, ΕΖ θὰ πέσουν ἐντὸς τοῦ τριγώνου, ὅταν δὲ εἶναι ὀρθή, θὰ πέσουν ἐπὶ τῆς ΒΓ, ὅταν δὲ εἶναι μεγαλυτέρα ὀρθῆς θὰ πέσουν ἐκτὸς τῆς ΒΓ (ΙΙΙ. 31)· ὅπερ ἔδει ποιῆσαι.

ϛ'.

Εἰς τὸν δοθέντα κύκλον τετράγωνον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον ἐγγράψαι.

Ἤχθωσαν τοῦ ΑΒΓΔ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΒΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ.



Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΔ· κέντρον γὰρ τὸ Ε· κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΕΑ, βάσις ἄρα ἡ ΑΒ βάσει τῇ ΑΔ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ΒΓ, ΓΔ ἑκατέρᾳ τῶν ΑΒ, ΑΔ ἴση ἐστίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. λέγω δή, ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ ἡ ΒΔ εὐθεῖα διάμετρός ἐστι τοῦ ΑΒΓΔ κύκλου, ἡμικύκλιον ἄρα ἐστὶ τὸ ΒΑΔ· ὀρθὴ ἄρα ἡ ὑπὸ ΒΑΔ γωνία· διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΑ ὀρθή ἐστιν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ τετράπλευρον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστίν. καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓΔ κύκλον.


Εἰς ἄρα τὸν δοθέντα κύκλον τετράγωνον ἐγγέγραπται τὸ ΑΒΓΔ· ὅπερ ἔδει ποιῆσαι.

ζ'.

Περὶ τὸν δοθέντα κύκλον τετράγωνον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔ κύκλον τετράγωνον περιγράψαι.

Ἤχθωσαν τοῦ ΑΒΓΔ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΒΔ, καὶ διὰ τῶν Α, Β, Γ, Δ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ ΑΒΓΔ κύκλου αἱ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ.



Ἐπεὶ οὖν ἐφάπτεται ἡ ΖΗ τοῦ ΑΒΓΔ κύκλου, ἀπὸ δὲ τοῦ Ε κέντρου ἐπὶ τὴν κατὰ τὸ Α ἐπαφὴν ἐπέζευκται ἡ ΕΑ, αἱ ἄρα πρὸς τῷ Α γωνίαι ὀρθαί εἰσιν. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Γ, Δ σημείοις γωνίαι ὀρθαί εἰσιν. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΑΕΒ γωνία, ἔστι δὲ ὀρθὴ καὶ ἡ ὑπὸ ΕΒΗ, παράλληλος ἄρα ἐστὶν ἡ ΗΘ τῇ ΑΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΓ τῇ ΖΚ ἐστι παράλληλος. ὥστε καὶ ἡ ΗΘ τῇ ΖΚ ἐστι παράλληλος. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκατέρα τῶν ΗΖ, ΘΚ τῇ ΒΕΔ ἐστι παράλληλος. παραλληλόγραμμα ἄρα ἐστὶ τὰ ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΗΖ τῇ ΘΚ, ἡ δὲ ΗΘ τῇ ΖΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓ τῇ ΒΔ, ἀλλὰ καὶ ἡ μὲν ΑΓ ἑκατέρᾳ τῶν ΗΘ, ΖΚ, ἡ δὲ ΒΔ ἑκατέρᾳ τῶν ΗΖ, ΘΚ ἐστιν ἴση [καὶ ἑκατέρα ἄρα τῶν ΗΘ, ΖΚ ἑκατέρᾳ τῶν ΗΖ, ΘΚ ἐστιν ἴση], ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΖΗΘΚ τετράπλευρον. λέγω δή, ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ γὰρ παραλ-

6.

Εἰς τὸν δοθέντα κύκλον νὰ ἐγγραφῇ τετράγωνον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· πρέπει εἰς τὸν δοθέντα κύκλον ΑΒΓΔ νὰ ἐγγραφῇ τετράγωνον.

Ἂς ἀχθοῦν δύο διάμετροι τοῦ κύκλου ΑΒΓΔ κάθετοι μεταξύ των αἱ ΑΓ, ΒΔ καὶ ἂς ἀχθοῦν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ.

Καὶ ἐπειδὴ ἡ ΒΕ εἶναι ἴση πρὸς τὴν ΕΔ· διότι τὸ Ε εἶναι κέντρον· κοινὴ δὲ καὶ κάθετος ἡ ΕΑ, ἕπεται, ὅτι ἡ βάσις ΑΒ εἶναι ἴση πρὸς τὴν βάσιν ΑΔ (Ι. 4). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκάστη τῶν ΒΓ, ΓΔ, εἶναι ἴση πρὸς ἑκάστην τῶν ΑΒ, ΑΔ· ἄρα τὸ τετράπλευρον ΑΒΓΔ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι εἶναι καὶ ὀρθογώνιον. Διότι, ἐπειδὴ ἡ εὐθεῖα ΒΔ εἶναι διάμετρος τοῦ κύκλου ΑΒΓΔ, ἕπεται, ὅτι τὸ ΒΑΔ εἶναι ἡμικύκλιον· ἄρα ἡ γωνία ΒΑΔ εἶναι ὀρθή (ΙΙΙ. 31). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκάστη τῶν γωνιῶν ΑΒΓ, ΒΓΔ, ΓΔΑ εἶναι ὀρθή· ἄρα τὸ τετράπλευρον ΑΒΓΔ εἶναι ὀρθογώνιον. Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἰσόπλευρον· ἄρα εἶναι τετράγωνον (Ι. ὁρισ. 22). Καὶ ἔχει ἐγγραφῆ εἰς τὸν κύκλον ΑΒΓΔ.

Εἰς τὸν δοθέντα ἄρα κύκλον ἔχει ἐγγραφῆ τετράγωνον τὸ ΑΒΓΔ· ὅπερ ἔδει ποιῆσαι.

7.

Περὶ τὸν δοθέντα κύκλον νὰ περιγραφῇ τετράγωνον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· πρέπει περὶ τὸν δοθέντα κύκλον ΑΒΓΔ νὰ περιγραφῇ τετράγωνον.

Ἂς ἀχθοῦν δύο διάμετροι τοῦ κύκλου ΑΒΓΔ κάθετοι μεταξύ των, αἱ ΑΓ, ΒΔ, καὶ διὰ τῶν σημείων Α, Β, Γ, Δ ἂς ἀχθοῦν ἐφαπτόμεναι τοῦ κύκλου ΑΒΓΔ αἱ ΖΗ, ΗΘ, ΘΚ, ΚΖ (ΙΙΙ. 17).

Ἐπειδὴ λοιπὸν ἡ ΖΗ ἐφάπτεται τοῦ κύκλου ΑΒΓΔ, ἀπὸ δὲ τοῦ κέντρου Ε ἔχει ἀχθῆ ἕως τὸ σημεῖον ἐπαφῆς Α ἡ ΕΑ, ἕπεται, ὅτι αἱ παρὰ τὸ Α γωνίαι εἶναι ὀρθαί (ΙΙΙ. 18). Διὰ τοὺς αὐτοὺς λόγους καὶ αἱ παρὰ τὰ σημεῖα Β, Γ, Δ γωνίαι εἶναι ὀρθαί. Καὶ ἐπειδὴ ἡ γωνία ΑΕΒ εἶναι ὀρθή, εἶναι δὲ καὶ ἡ ΕΒΗ ὀρθή, ἕπεται, ὅτι ἡ ΗΘ εἶναι παράλληλος πρὸς τὴν ΑΓ (Ι. 29). Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΖΚ. Ὥστε καὶ ἡ ΗΘ εἶναι παράλληλος πρὸς τὴν ΖΚ (Ι. 30). Ὁμοίως θ' ἀποδείξωμεν, ὅτι καὶ ἑκάστη τῶν ΗΖ, ΘΚ εἶναι παράλληλος πρὸς τὴν ΒΕΔ. Ἄρα τὰ ΗΚ, ΗΓ, ΑΚ, ΖΒ, ΒΚ εἶναι παραλληλόγραμμα· ἄρα ἡ μὲν ΗΖ εἶναι ἴση πρὸς τὴν ΘΚ, ἡ δὲ ΗΘ πρὸς τὴν ΖΚ (Ι. 34). Καὶ ἐπειδὴ ἡ ΑΓ εἶναι ἴση πρὸς τὴν ΒΔ, ἀλλὰ καὶ ἡ μὲν ΑΓ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΗΘ, ΖΚ, ἡ δὲ ΒΔ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΗΖ, ΘΚ [καὶ ἑκάστη ἄρα τῶν ΗΘ, ΖΚ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΗΖ, ΘΚ], ἕπεται, ὅτι τὸ τετράπλευρον ΖΗΘΚ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι εἶναι καὶ ὀρθο-

ληλόγραμμόν ἐστι τὸ ΗΒΕΑ, καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ ΑΕΒ, ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΗΒ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ πρὸς τοῖς Θ, Κ, Ζ γωνίαι ὀρθαί εἰσιν. ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΖΗΘΚ. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστίν. καὶ περιγέγραπται περὶ τὸν ΑΒΓΔ κύκλον.

Περὶ τὸν δοθέντα ἄρα κύκλον τετράγωνον περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

η'.

Εἰς τὸ δοθὲν τετράγωνον κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔ τετράγωνον κύκλον ἐγγράψαι.

Τετμήσθω ἑκατέρα τῶν ΑΔ, ΑΒ δίχα κατὰ τὰ Ε, Ζ σημεῖα, καὶ διὰ μὲν τοῦ Ε ὁποτέρᾳ τῶν ΑΒ, ΓΔ παράλληλος ἤχθω ἡ ΕΘ. διὰ δὲ τοῦ Ζ ὁποτέρᾳ τῶν ΑΔ, ΒΓ παράλληλος ἤχθω ἡ ΖΚ· παραλληλόγραμμον ἄρα ἐστὶν ἕκαστον τῶν ΑΚ, ΚΒ, ΑΘ, ΘΔ, ΑΗ, ΗΓ, ΒΗ, ΗΔ, καὶ αἱ ἀπεναντίον αὐτῶν πλευραὶ δηλονότι ἴσαι [εἰσίν]. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΑΒ, καὶ ἔστι τῆς μὲν ΑΔ ἡμίσεια ἡ ΑΕ, τῆς δὲ ΑΒ ἡμίσεια ἡ ΑΖ, ἴση ἄρα καὶ ἡ ΑΕ τῇ ΑΖ· ὥστε καὶ αἱ ἀπεναντίον· ἴση ἄρα καὶ ἡ ΖΗ τῇ ΗΕ· ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκατέρα τῶν ΗΘ, ΗΚ ἑκατέρᾳ τῶν ΖΗ, ΗΕ ἐστιν ἴση· αἱ τέσσαρες ἄρα αἱ ΗΕ, ΗΖ, ΗΘ, ΗΚ ἴσαι ἀλλήλαις [εἰσίν]. ὁ ἄρα κέντρῳ μὲν τῷ Η διαστήματι δὲ ἑνὶ τῶν Ε, Ζ, Θ, Κ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων· καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ εὐθειῶν διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Ε, Ζ, Θ, Κ γωνίας· εἰ γὰρ τεμεῖ ὁ κύκλος τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΑ, ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐντὸς πεσεῖται τοῦ κύκλου· ὅπερ ἄτοπον ἐδείχθη. οὐκ ἄρα ὁ κέντρῳ τῷ Η διαστήματι δὲ ἑνὶ τῶν Ε, Ζ, Θ, Κ κύκλος γραφόμενος τεμεῖ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΑ εὐθείας. ἐφάψεται ἄρα αὐτῶν καὶ ἔσται ἐγγεγραμμένος εἰς τὸ ΑΒΓΔ τετράγωνον.

Εἰς ἄρα τὸ δοθὲν τετράγωνον κύκλος ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

θ'.

Περὶ τὸ δοθὲν τετράγωνον κύκλον περιγράψαι.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· δεῖ περὶ τὸ ΑΒΓΔ τετράγωνον κύκλον περιγράψαι.

Ἐπιζευχθεῖσαι γὰρ αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΔΑ τῇ ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, δύο δὴ αἱ ΔΑ, ΑΓ δυσὶ

γώνιον. Διότι, ἐπειδὴ τὸ ΗΒΕΑ εἶναι παραλληλόγραμμον καὶ ἡ ΑΕΒ εἶναι ὀρθή, ἕπεται, ὅτι καὶ ἡ ΑΗΒ εἶναι ὀρθή (Ι. 34). Ὁμοίως θ' ἀποδείξωμεν, ὅτι καὶ αἱ παρὰ τὰ σημεῖα Θ, Κ, Ζ γωνίαι εἶναι ὀρθαί. Ἄρα τὸ ΖΗΘΚ εἶναι ὀρθογώνιον. Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἰσόπλευρον· ἄρα εἶναι τετράγωνον. Καὶ ἔχει περιγραφῆ περὶ τὸν κύκλον ΑΒΓΔ.

Ἄρα περὶ τὸν δοθέντα κύκλον ἔχει περιγραφῆ τετράγωνον· ὅπερ ἔδει ποιῆσαι.

8.

Εἰς τὸ δοθὲν τετράγωνον νὰ ἐγγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· πρέπει εἰς τὸ τετράγωνον ΑΒΓΔ νὰ ἐγγραφῇ κύκλος.

Ἄς τμηθῇ ἑκάστη τῶν ΑΔ, ΑΒ εἰς τὸ μέσον κατὰ τὰ σημεια Ε, Ζ, καὶ διὰ μὲν τοῦ Ε πρὸς ὁποιανδήποτε τῶν ΑΒ, ΓΔ, ἄς ἀχθῇ παράλληλος ἡ ΕΘ, διὰ δὲ τοῦ Ζ πρὸς ὁποιανδήποτε τῶν ΑΔ, ΒΓ ἄς ἀχθῇ παράλληλος ἡ ΖΚ (Ι. 30 καὶ 31)· ἄρα ἕκαστον τῶν ΑΚ, ΚΒ, ΑΘ, ΘΔ, ΑΗ, ΗΓ, ΒΗ, ΗΔ εἶναι παραλληλόγραμμον, καὶ εἶναι φανερόν, ὅτι αἱ ἀπέναντι αὐτῶν πλευραὶ εἶναι ἴσαι (Ι. 34). Καὶ ἐπειδὴ ἡ ΑΔ εἶναι ἴση πρὸς τὴν ΑΒ, καὶ εἶναι ἡ μὲν ΑΕ τὸ ἥμισυ τῆς ΑΔ, ἡ δὲ ΑΖ τὸ ἥμισυ τῆς ΑΒ, ἕπεται, ὅτι καὶ ἡ ΑΕ εἶναι ἴση πρὸς τὴν ΑΖ· ὥστε καὶ αἱ ἀπέναντι πλευραὶ εἶναι ἴσαι· ἄρα καὶ ἡ ΖΗ εἶναι ἴση πρὸς τὴν ΗΕ. Ὁμοίως θ' ἀποδείξωμεν, ὅτι καὶ ἑκάστη τῶν ΗΘ, ΗΚ, εἶναι ἴση πρὸς ἑκάστην τῶν ΖΗ, ΗΕ· ἄρα αἱ τέσσαρες αἱ ΗΕ, ΗΖ, ΗΘ, ΗΚ εἶναι μεταξύ των ἴσαι. Ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον μὲν τὸ Η ἀκτῖνα δὲ μίαν τῶν ΗΕ, ΗΖ, ΗΘ, ΗΚ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων· καὶ θὰ ἐφάπτεται τῶν εὐθειῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΑ, διότι αἱ πρὸς τὰ σημεῖα Ε, Ζ, Θ, Κ, γωνίαι εἶναι ὀρθαί· διότι, ἐὰν ὁ κύκλος θὰ τέμνῃ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΑ, ἡ κάθετος ἡ ἀγομένη εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου θὰ πέσῃ ἐντὸς τοῦ κύκλου· ὅπερ ἐδείχθη ἄτοπον (ΙΙΙ. 16). Ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Η ἀκτῖνα δὲ μίαν τῶν ΗΕ, ΗΖ, ΗΘ, ΗΚ δὲν θὰ τέμνῃ τὰς εὐθείας ΑΒ, ΒΓ, ΓΔ, ΔΑ. Ἄρα θὰ ἐφάπτεται αὐτῶν καὶ θὰ εἶναι ἐγγεγραμμένος εἰς τὸ τετράγωνον ΑΒΓΔ.

Εἰς τὸ δοθὲν ἄρα τετράγωνον ἔχει ἐγγραφῇ κύκλος· ὅπερ ἔδει ποιῆσαι.


9.

Περὶ τὸ δοθὲν τετράγωνον νὰ περιγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν τετράγωνον τὸ ΑΒΓΔ· πρέπει περὶ τὸ τετράγωνον ΑΒΓΔ νὰ περιγραφῇ κύκλος.

Διότι, ἀφοῦ ἀχθοῦν αἱ ΑΓ, ΒΔ, ἄς τέμνωνται μεταξύ των κατὰ τὸ σημεῖον Ε.

Καὶ ἐπειδὴ ἡ ΔΑ εἶναι ἴση πρὸς τὴν ΑΒ, κοινὴ δὲ ἡ ΑΓ, ὑπάρχουν δύο




ταῖς ΒΑ, ΑΓ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΔΓ βάσει τῇ ΒΓ ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΑΓ γωνίᾳ τῇ ὑπὸ ΒΑΓ ἴση ἐστίν· ἡ ἄρα ὑπὸ ΔΑΒ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΑΓ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΑ δίχα τέτμηται ὑπὸ τῶν ΑΓ, ΔΒ εὐθειῶν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΑΒ γωνία τῇ ὑπὸ ΑΒΓ, καὶ ἔστι τῆς μὲν ὑπὸ ΔΑΒ ἡμίσεια ἡ ὑπὸ ΕΑΒ, τῆς δὲ ὑπὸ ΑΒΓ ἡμίσεια ἡ ὑπὸ ΕΒΑ, καὶ ἡ ὑπὸ ΕΑΒ ἄρα τῇ ὑπὸ ΕΒΑ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΕΑ τῇ ΕΒ ἐστιν ἴση· ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκατέρα τῶν ΕΑ, ΕΒ [εὐθειῶν] ἑκατέρᾳ τῶν ΕΓ, ΕΔ ἴση ἐστίν. αἱ τέσσαρες ἄρα αἱ ΕΑ, ΕΒ, ΕΓ, ΕΔ ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Ε καὶ διαστήματι ἑνὶ τῶν Α, Β, Γ, Δ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἔσται περιγεγραμμένος περὶ τὸ ΑΒΓΔ τετράγωνον. περιγεγράφθω ὡς ὁ ΑΒΓΔ.

Περὶ τὸ δοθὲν ἄρα τετράγωνον κύκλος περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ι'.

Ἰσοσκελὲς τρίγωνον συστήσασθαι ἔχον ἑκατέραν τῶν πρὸς τῇ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς.



Ἐκκείσθω τις εὐθεῖα ἡ ΑΒ, καὶ τετμήσθω κατὰ τὸ Γ σημεῖον, ὥστε τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον εἶναι τῷ ἀπὸ τῆς ΓΑ τετραγώνῳ· καὶ κέντρῳ τῷ Α καὶ διαστήματι τῷ ΑΒ κύκλος γεγράφθω ὁ ΒΔΕ, καὶ ἐνηρμόσθω εἰς τὸν ΒΔΕ κύκλον τῇ ΑΓ εὐθείᾳ μὴ μείζονι οὔσῃ τῆς τοῦ ΒΔΕ κύκλου διαμέτρου ἴση εὐθεῖα ἡ ΒΔ· καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ, καὶ περιγεγράφθω περὶ τὸ ΑΓΔ τρίγωνον κύκλος ὁ ΑΓΔ.

Καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ, ἴση δὲ ἡ ΑΓ τῇ ΒΔ, τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΔ. καὶ ἐπεὶ κύκλου τοῦ ΑΓΔ εἴληπταί τι σημεῖον ἐκτὸς τὸ Β, καὶ ἀπὸ τοῦ Β πρὸς τὸν ΑΓΔ κύκλον προσπεπτώκασι δύο εὐθεῖαι αἱ ΒΑ, ΒΔ, καὶ ἡ μὲν αὐτῶν τέμνει, ἡ δὲ προσπίπτει, καὶ ἔστι τὸ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον τῷ ἀπὸ τῆς ΒΔ, ἡ ΒΔ ἄρα ἐφάπτεται τοῦ ΑΓΔ κύκλου. ἐπεὶ οὖν ἐφάπτεται μὲν ἡ ΒΔ, ἀπὸ δὲ τῆς κατὰ τὸ Δ ἐπαφῆς διῆκται ἡ ΔΓ, ἡ ἄρα ὑπὸ ΒΔΓ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ ΔΑΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΒΔΓ τῇ ὑπὸ ΔΑΓ, κοινὴ προσκείσθω ἡ ὑπὸ ΓΔΑ· ὅλη ἄρα ἡ ὑπὸ ΒΔΑ ἴση ἐστὶ δυσὶ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ. ἀλλὰ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ ἴση ἐστὶν ἡ ἐκτὸς ἡ ὑπὸ ΒΓΔ· καὶ ἡ ὑπὸ ΒΔΑ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΒΓΔ. ἀλλὰ ἡ ὑπὸ ΒΔΑ τῇ ὑπὸ ΓΒΔ ἐστιν ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΑΔ τῇ ΑΒ ἐστιν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΔΒΑ τῇ ὑπὸ ΒΓΔ ἐστιν ἴση. αἱ τρεῖς ἄρα αἱ ὑπὸ ΒΔΑ, ΔΒΑ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσίν. καὶ ἐπεὶ

εὐθεῖαι, αἱ ΔΑ, ΑΓ ἴσαι πρὸς δύο τὰς ΒΑ, ΑΓ· καὶ ἡ βάσις ΔΓ, εἶναι ἴση πρὸς τὴν βάσιν ΒΓ· ἄρα ἡ γωνία ΔΑΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΒΑΓ· ἄρα ἡ γωνία ΔΑΒ διχοτομεῖται ὑπὸ τῆς ΑΓ. Ὁμοίως θ' ἀποδείξωμεν, ὅτι καὶ ἑκάστη τῶν γωνιῶν ΑΒΓ, ΒΓΔ, ΓΔΑ διχοτομεῖται ὑπὸ τῶν εὐθειῶν ΑΓ, ΔΒ. Καὶ ἐπειδὴ ἡ γωνία ΔΑΒ εἶναι ἴση πρὸς τὴν γωνίαν ΑΒΓ, καὶ εἶναι ἡ μὲν ΕΑΒ τὸ ἥμισυ τῆς ΔΑΒ, ἡ δὲ ΕΒΑ τὸ ἥμισυ τῆς ΑΒΓ, ἄρα καὶ ἡ ΕΑΒ εἶναι ἴση πρὸς τὴν ΕΒΑ· ὥστε καὶ ἡ πλευρὰ ΕΑ εἶναι ἴση πρὸς τὴν ΕΒ (I. 6). Ὁμοίως θ' ἀποδείξωμεν, ὅτι καὶ ἑκάστη τῶν εὐθειῶν ΕΑ, ΕΒ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΕΓ, ΕΔ. Αἱ τέσσαρες ἄρα αἱ ΕΑ, ΕΒ, ΕΓ, ΕΔ εἶναι ἴσαι μεταξύ των. Ὁ κύκλος ἄρα ὁ γραφόμενος μὲ κέντρον τὸ Ε καὶ ἀκτῖνα μίαν τῶν ΕΑ, ΕΒ, ΕΓ, ΕΔ, θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ εἶναι περιγεγραμμένος περὶ τὸ τετράγωνον ΑΒΓΔ. Ἂς περιγραφῇ, ὅπως ὁ ΑΒΓΔ.

Περὶ τὸ δοθὲν ἄρα τετράγωνον ἔχει περιγραφῆ κύκλος· ὅπερ ἔδει ποιῆσαι.

10.

Νὰ κατασκευασθῇ ἰσοσκελὲς τρίγωνον τὸ ὁποῖον νὰ ἔχῃ ἑκάστην τῶν παρὰ τὴν βάσιν γωνιῶν διπλασίαν τῆς λοιπῆς.

Ἂς ληφθῇ εὐθεῖά τις ἡ ΑΒ, καὶ ἂς τμηθῇ αὕτη κατὰ τὸ σημεῖον Γ οὕτως, ὥστε τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ νὰ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΓΑ (II. 11)· καὶ μὲ κέντρον τὸ Α καὶ ἀκτῖνα τὴν ΑΒ ἂς γραφῇ κύκλος ὁ ΒΔΕ, καὶ ἂς ἐναρμοσθῇ εἰς τὸν κύκλον ΒΔΕ ἡ εὐθεῖα ΔΒ, ἴση πρὸς τὴν εὐθεῖαν ΑΓ, ἡ ὁποία δὲν εἶναι μεγαλυτέρα τῆς διαμέτρου τοῦ κύκλου ΒΔΕ (IV. 1)· καὶ ἂς ἀχθοῦν αἱ ΑΔ, ΔΓ, καὶ ἂς περιγραφῇ περὶ τὸ τρίγωνον ΑΓΔ κύκλος ὁ ΑΓΔ (IV· 5).

Καὶ ἐπειδὴ τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΓ, εἶναι δὲ ἡ ΑΓ ἴση πρὸς τὴν ΒΔ, ἕπεται, ὅτι τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ, εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΒΔ. Καὶ ἐπειδὴ κύκλου τοῦ ΑΓΔ ἔχει ληφθῆ σημεῖόν τι ἐκτὸς τὸ Β, καὶ ἀπὸ τοῦ Β ἔχουν προσπέσει πρὸς τὸν κύκλον ΑΓΔ δύο εὐθεῖαι, αἱ ΒΑ, ΒΔ, καὶ ἡ μὲν ἐξ αὐτῶν τέμνει αὐτόν, ἡ δὲ προσπίπτει, καὶ τὸ ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΒ, ΒΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΒΔ, ἕπεται, ὅτι ἡ ΒΔ ἐφάπτεται τοῦ κύκλου ΑΓΔ (III. 37). Ἐπειδὴ λοιπὸν ἐφάπτεται μὲν ἡ ΒΔ, ἀπὸ δὲ τῆς κατὰ τὸ σημεῖον Δ ἐπαφῆς διέρχεται ἡ ΔΓ, ἕπεται, ὅτι ἡ γωνία ΒΔΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΑΓ τὴν εὑρισκομένην εἰς τὸ ἐναλλὰξ τμῆμα τοῦ κύκλου (III. 32). Ἐπειδὴ λοιπὸν ἡ ΒΔΓ εἶναι ἴση πρὸς τὴν ΔΑΓ, ἂς προστεθῇ εἰς ἀμφοτέρας ἡ ΓΔΑ· ἄρα ὅλη ἡ ΒΔΑ εἶναι ἴση πρὸς δύο, τὰς ΓΔΑ, ΔΑΓ. Ἀλλὰ πρὸς τὰς ΓΔΑ, ΔΑΓ εἶναι ἴση ἡ ἐκτὸς ἡ ΒΓΔ (I. 32)· ἄρα καὶ ἡ ΒΔΑ εἶναι ἴση πρὸς τὴν ΒΓΔ. Ἀλλὰ ἡ ΒΔΑ εἶναι ἴση πρὸς τὴν ΓΒΔ, ἐπειδὴ καὶ ἡ πλευρὰ ΑΔ εἶναι ἴση πρὸς τὴν ΑΒ (1. 5)· ὥστε καὶ ἡ ΔΒΑ εἶναι ἴση πρὸς τὴν ΒΓΔ. Ἄρα αἱ τρεῖς γωνίαι, αἱ ΒΔΑ, ΔΒΑ, ΒΓΔ εἶναι ἴσαι μεταξύ των. Καὶ


ἴση ἐστὶν ἡ ὑπὸ ΔΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἴση ἐστὶ καὶ πλευρὰ ἡ ΒΔ πλευρᾷ τῇ ΔΓ. ἀλλὰ ἡ ΒΔ τῇ ΓΑ ὑπόκειται ἴση· καὶ ἡ ΓΑ ἄρα τῇ ΓΔ ἐστιν ἴση· ὥστε καὶ γωνία ἡ ὑπὸ ΓΔΑ γωνίᾳ τῇ ὑπὸ ΔΑΓ ἐστιν ἴση· αἱ ἄρα ὑπὸ ΓΔΑ, ΔΑΓ τῆς ὑπὸ ΔΑΓ εἰσι διπλασίους. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ταῖς ὑπὸ ΓΔΑ, ΔΑΓ· καὶ ἡ ὑπὸ ΒΓΔ ἄρα τῆς ὑπὸ ΓΑΔ ἐστι διπλῆ. ἴση δὲ ἡ ὑπὸ ΒΓΔ ἑκατέρᾳ τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΒΔΑ, ΔΒΑ τῆς ὑπὸ ΔΑΒ ἐστι διπλῆ.

Ἰσοσκελὲς ἄρα τρίγωνον συνέσταται τὸ ΑΒΔ ἔχον ἑκατέραν τῶν πρὸς τῇ ΔΒ βάσει γωνιῶν διπλασίονα τῆς λοιπῆς· ὅπερ ἔδει ποιῆσαι.

ια'.

Εἰς τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.



Ἐκκείσθω τρίγωνον ἰσοσκελὲς τὸ ΖΗΘ διπλασίονα ἔχον ἑκατέραν τῶν πρὸς τοῖς Η, Θ γωνιῶν τῆς πρὸς τῷ Ζ, καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔΕ κύκλον τῷ ΖΗΘ τριγώνῳ ἰσογώνιον τρίγωνον τὸ ΑΓΔ, ὥστε τῇ μὲν πρὸς τῷ Ζ γωνίᾳ ἴσην εἶναι τὴν ὑπὸ ΓΑΔ, ἑκατέραν δὲ τῶν πρὸς τοῖς Η, Θ ἴσην ἑκατέρᾳ τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ· καὶ ἑκατέρα ἄρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ τῆς ὑπὸ ΓΑΔ ἐστι διπλῆ. τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ δίχα ὑπὸ ἑκατέρας τῶν ΓΕ, ΔΒ εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, [ΓΔ], ΔΕ, ΕΑ.

Ἐπεὶ οὖν ἑκατέρα τῶν ὑπὸ ΑΓΔ, ΓΔΑ γωνιῶν διπλασίων ἐστὶ τῆς ὑπὸ ΓΑΔ, καὶ τετμημέναι εἰσὶ δίχα ὑπὸ τῶν ΓΕ, ΔΒ εὐθειῶν, αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΔΑΓ, ΑΓΕ, ΕΓΔ, ΓΔΒ, ΒΔΑ ἴσαι ἀλλήλαις εἰσίν· αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ πέντε ἄρα περιφέρειαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν. ὑπὸ δὲ τὰς ἴσας περιφερείας ἴσαι εὐθεῖαι ὑποτείνουσιν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον, λέγω δή, ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἡ ΑΒ περιφέρεια τῇ ΔΕ περιφερείᾳ ἐστὶν ἴση, κοινὴ προσκείσθω ἡ ΒΓΔ· ὅλη ἄρα ἡ ΑΒΓΔ περιφέρεια ὅλῃ τῇ ΕΔΓΒ περιφερείᾳ ἐστὶν ἴση καὶ βέβηκεν ἐπὶ μὲν τῆς ΑΒΓΔ περιφερείας γωνία ἡ ὑπὸ ΑΕΔ, ἐπὶ δὲ τῆς ΕΔΓΒ περιφερείας γωνία ἡ ὑπὸ ΒΑΕ· καὶ ἡ ὑπὸ ΒΑΕ ἄρα γωνία τῇ ὑπὸ ΑΕΔ ἐστιν ἴση· διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάστη τῶν ὑπὸ ΑΒΓ, ΒΓΔ, ΓΔΕ γωνιῶν ἑκατέρᾳ τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον.

Εἰς ἄρα τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

πειδὴ ἡ γωνία ΔΒΓ εἶναι ἴση πρὸς τὴν ΒΓΔ, εἶναι καὶ ἡ πλευρὰ ΒΔ ἴση πρὸς τὴν πλευρὰν ΔΓ (1. 6). Ἀλλὰ ἡ ΒΔ ἐλήφθη ἴση πρὸς τὴν ΓΑ· ἄρα καὶ ἡ ΓΑ εἶναι ἴση πρὸς τὴν ΓΔ· ὥστε καὶ ἡ γωνία ΓΔΑ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΑΓ (I. 5)· ἄρα αἱ γωνίαι ΓΔΑ, ΔΑΓ εἶναι διπλάσιαι τῆς ΔΑΓ. Εἶναι δὲ ἡ ΒΓΔ ἴση πρὸς τὰς ΓΔΑ, ΔΑΓ· ἄρα καὶ ἡ ΒΓΔ εἶναι διπλασία τῆς ΓΑΔ. Εἶναι δὲ ἡ ΒΓΔ ἴση πρὸς ἑκάστην τῶν ΒΔΑ, ΔΒΑ· ἄρα καὶ ἑκάστη τῶν ΒΔΑ, ΔΒΑ εἶναι διπλασία τῆς ΔΑΒ.

Κατεσκευάσθη ἄρα ἰσοσκελὲς τρίγωνον τὸ ΑΒΔ, τὸ ὁποῖον ἔχει ἑκάστην τῶν παρὰ τὴν βάσιν ΔΒ γωνιῶν διπλασίαν τῆς λοιπῆς· ὅπερ ἔδει ποιῆσαι.

11.

Εἰς τὸν δοθέντα κύκλον νὰ ἐγγραφῇ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· πρέπει εἰς τὸν κύκλον ΑΒΓΔΕ νὰ ἐγγραφῇ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.

Ἂς ληφθῇ ἰσοσκελὲς τρίγωνον, τὸ ΖΗΘ, ἔχον ἑκάστην τῶν παρὰ τὰ σημεῖα Η, Θ γωνιῶν διπλασίαν τῆς γωνίας παρὰ τὸ Ζ (IV. 10), καὶ ἂς ἐγγραφῇ εἰς τὸν κύκλον ΑΒΓΔΕ τὸ τρίγωνον ΑΓΔ ἰσογώνιον πρὸς τὸ τρίγωνον ΖΗΘ (IV. 2), ὥστε ἡ μὲν γωνία ΓΑΔ νὰ εἶναι ἴση πρὸς τὴν γωνίαν Ζ, ἑκάστη δὲ τῶν πρὸς τὰ σημεῖα Η, Θ γωνιῶν νὰ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΑΓΔ, ΓΔΑ (IV. 2)· ἄρα καὶ ἑκάστη τῶν γωνιῶν ΑΓΔ, ΓΔΑ εἶναι διπλασία τῆς ΓΑΔ. Ἂς διχοτομηθῇ τώρα ἑκάστη τῶν ΑΓΔ, ΓΔΑ ὑπὸ ἑκάστης τῶν εὐθειῶν ΓΕ, ΔΒ, καὶ ἂς ἀχθοῦν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ.

Ἐπειδὴ λοιπὸν ἑκάστη τῶν γωνιῶν ΑΓΔ, ΓΔΑ εἶναι διπλασία τῆς ΓΑΔ καὶ αὗται ἔχουν διχοτομηθῇ ὑπὸ τῶν εὐθειῶν ΓΕ, ΔΒ (I. 9), ἕπεται, ὅτι αἱ πέντε γωνίαι, αἱ ΔΑΓ, ΑΓΕ, ΕΓΔ, ΓΔΒ, ΒΔΑ εἶναι μεταξύ των ἴσαι. Αἱ δὲ ἴσαι γωνίαι βαίνουν ἐπὶ ἴσων τόξων (III. 26)· ἄρα τὰ πέντε τόξα τὰ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εἶναι μεταξύ των ἴσα. Τὰ ἴσα δὲ τόξα ὑποτείνουν εὐθεῖαι ἴσαι· ἄρα αἱ πέντε εὐθεῖαι, αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εἶναι μεταξύ των ἴσαι· ἄρα τὸ πεντάγωνον ΑΒΓΔΕ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι εἶναι καὶ ἰσογώνιον. Διότι, ἐπειδὴ τὸ τόξον ΑΒ εἶναι ἴσον πρὸς τὸ τόξον ΔΕ, ἂς προστεθῇ εἰς ἀμφότερα τὸ τόξον ΒΓΔ· ἄρα ὅλον τὸ τόξον ΑΒΓΔ εἶναι ἴσον πρὸς ὅλον τὸ τόξον ΕΔΓΒ. Καὶ ἐπὶ μὲν τοῦ τόξου ΑΒΓΔ βαίνει ἡ γωνία ΑΕΔ, ἐπὶ δὲ τοῦ τόξου ΕΔΓΒ βαίνει ἡ γωνία ΒΑΕ· ἄρα καὶ ἡ γωνία ΒΑΕ εἶναι ἴση πρὸς τὴν ΑΕΔ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἑκάστη τῶν γωνιῶν ΑΒΓ, ΒΓΔ, ΓΔΕ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΒΑΕ, ΑΕΔ (III. 27)· ἄρα τὸ πεντάγωνον ΑΒΓΔΕ εἶναι ἰσογώνιον. Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἰσόπλευρον.

Εἰς τὸν δοθέντα ἄρα κύκλον ἔχει ἐγγραφῇ πεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον· ὅπερ ἔδει ποιῆσαι.


ιβ'.

Περὶ τὸν δοθέντα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγράψαι.

Νενοήσθω τοῦ ἐγγεγραμμένου πενταγώνου τῶν γωνιῶν σημεῖα τὰ Α, Β, Γ, Δ, Ε, ὥστε ἴσας εἶναι τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ περιφερείας· καὶ διὰ τῶν Α, Β, Γ, Δ, Ε ἤχθωσαν τοῦ κύκλου ἐφαπτόμεναι αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ, καὶ εἰλήφθω τοῦ ΑΒΓΔΕ κύκλου κέντρον τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΚ, ΖΓ, ΖΛ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μὲν ΚΛ εὐθεῖα ἐφάπτεται τοῦ ΑΒΓΔΕ κατὰ τὸ Γ, ἀπὸ δὲ τοῦ Ζ κέντρου ἐπὶ τὴν κατὰ τὸ Γ ἐπαφὴν ἐπέζευκται ἡ ΖΓ, ἡ ΖΓ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΚΛ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν πρὸς τῷ Γ γωνιῶν. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τοῖς Β, Δ σημείοις γωνίαι ὀρθαί εἰσιν. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ΖΓΚ γωνία, τὸ ἄρα ἀπὸ τῆς ΖΚ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΓ, ΓΚ. διὰ τὰ αὐτὰ δὴ καὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΚ· ὥστε τὰ ἀπὸ τῶν ΖΓ, ΓΚ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΚ ἐστιν ἴσα, ὧν τὸ ἀπὸ τῆς ΖΓ τῷ ἀπὸ τῆς ΖΒ ἐστιν ἴσον· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΓΚ τῷ ἀπὸ τῆς ΒΚ ἐστιν ἴσον. ἴση ἄρα ἡ ΒΚ τῇ ΓΚ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΖΒ τῇ ΖΓ, καὶ κοινὴ ἡ ΖΚ, δύο δὴ αἱ ΒΖ, ΖΚ δυσὶ ταῖς ΓΖ, ΖΚ ἴσαι εἰσίν. καὶ βάσις ἡ ΒΚ βάσει τῇ ΓΚ [ἐστιν] ἴση· γωνία ἄρα ἡ μὲν ὑπὸ ΒΖΚ [γωνίᾳ] τῇ ὑπὸ ΚΖΓ ἐστιν ἴση· ἡ δὲ ὑπὸ ΒΚΖ τῇ ὑπὸ ΖΚΓ· διπλῆ ἄρα ἡ μὲν ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ, ἡ δὲ ὑπὸ ΒΚΓ τῆς ὑπὸ ΖΚΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ μὲν ὑπὸ ΓΖΔ τῆς ὑπὸ ΓΖΛ ἐστι διπλῆ, ἡ δὲ ὑπὸ ΔΛΓ τῆς ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΒΖΓ τῇ ὑπὸ ΓΖΔ. καὶ ἔστιν ἡ μὲν ὑπὸ ΒΖΓ τῆς ὑπὸ ΚΖΓ διπλῆ, ἡ δὲ ὑπὸ ΔΖΓ τῆς ὑπὸ ΛΖΓ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΚΖΓ τῇ ὑπὸ ΛΖΓ· ἔστι δὲ καὶ ἡ ὑπὸ ΖΓΚ γωνία τῇ ὑπὸ ΖΓΛ ἴση. δύο δὴ τρίγωνά ἐστι τὰ ΖΚΓ, ΖΛΓ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν ΖΓ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΚΓ εὐθεῖα τῇ ΓΛ, ἡ δὲ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΚΓ τῇ ΓΛ, διπλῆ ἄρα ἡ ΚΛ τῆς ΚΓ· διὰ τὰ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ ΘΚ τῆς ΒΚ διπλῆ. καὶ ἔστιν ἡ ΒΚ τῇ ΚΓ ἴση· καὶ ἡ ΘΚ ἄρα τῇ ΚΛ ἐστιν ἴση· ὁμοίως δὴ δειχθή-



12.

Περὶ τὸν δοθέντα κύκλον νὰ περιγραφῇ ἰσόπλευρον καὶ ἰσογώνιον πεντάγωνον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕ· πρέπει περὶ τὸν κύκλον ΑΒΓΔΕ νὰ περιγραφῇ ἰσόπλευρον καὶ ἰσογώνιον πεντάγωνον.

Ἂς νοήσωμεν, ὅτι αἱ κορυφαὶ τῶν γωνιῶν τοῦ ἐγγεγραμμένου εἰς τὸν κύκλον πενταγώνου (IV. 11) εἶναι τὰ σημεῖα Α, Β, Γ, Δ, Ε, ὥστε τὰ τόξα ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ νὰ εἶναι ἴσα· καὶ διὰ τῶν σημείων Α, Β, Γ, Δ, Ε ἂς ἀχθοῦν ἐφαπτόμεναι τοῦ κύκλου αἱ ΗΘ, ΘΚ, ΚΛ, ΛΜ, ΜΗ (III. 17) καὶ ἂς ληφθῇ τοῦ κύκλου ΑΒΓΔΕ κέντρον τὸ Ζ (III. 1) καὶ ἂς ἀχθοῦν αἱ ΖΒ, ΖΚ, ΖΓ, ΖΛ, ΖΔ.

Καὶ ἐπειδὴ ἡ μὲν εὐθεῖα ΚΛ ἐφάπτεται τοῦ κύκλου ΑΒΓΔΕ κατὰ τὸ Γ, ἀπὸ δὲ τοῦ κέντρου Ζ πρὸς τὸ σημεῖον τῆς ἐπαφῆς Γ ἔχει ἀχθῆ ἡ ΖΓ, ἕπεται, ὅτι ἡ ΖΓ εἶναι κάθετος ἐπὶ τὴν ΚΛ (III. 18)· ἄρα ἑκάστη τῶν πρὸς τὸ σημεῖον Γ γωνιῶν εἶναι ὀρθή. Διὰ τοὺς αὐτοὺς λόγους καὶ αἱ πρὸς τὰ σημεῖα Β, Δ γωνίαι εἶναι ὀρθαί. Καὶ ἐπειδὴ ἡ γωνία ΖΓΚ εἶναι ὀρθή, ἕπεται, ὅτι τὸ τετράγωνον τῆς ΖΚ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΖΓ, ΓΚ (I. 47). Διὰ τοὺς αὐτοὺς λόγους καὶ πρὸς τὰ τετράγωνα τῶν ΖΒ, ΒΚ εἶναι ἴσον τὸ τετράγωνον τῆς ΖΚ· ὥστε τὰ τετράγωνα τῶν ΖΓ, ΓΚ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΖΒ, ΒΚ, ἐκ τῶν ὁποίων τὸ τετράγωνον τῆς ΖΓ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΖΒ· ἄρα τὸ ἀπομένον τετράγωνον τῆς ΓΚ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΒΚ. Ἄρα ἡ ΒΚ εἶναι ἴση πρὸς τὴν ΓΚ. Καὶ ἐπειδὴ ἡ ΖΒ εἶναι ἴση πρὸς τὴν ΖΓ, καὶ ἡ ΖΚ εἶναι κοινή, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΒΖ, ΖΚ ἴσαι πρὸς δύο τὰς ΓΖ, ΖΚ· καὶ ἡ βάσις ΒΚ εἶναι ἴση πρὸς τὴν βάσιν ΓΚ· ἄρα ἡ μὲν γωνία ΒΖΚ εἶναι ἴση πρὸς τὴν ΚΖΓ (I. 8)· ἡ δὲ ΒΚΖ εἶναι ἴση πρὸς τὴν ΖΚΓ (I. 32)· ἄρα ἡ μὲν ΒΖΓ εἶναι διπλασία τῆς ΚΖΓ, ἡ δὲ ΒΚΓ εἶναι διπλασία τῆς ΖΚΓ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ μὲν ΓΖΔ εἶναι διπλασία τῆς ΓΖΛ, ἡ δὲ ΔΛΓ εἶναι διπλασία τῆς ΖΛΓ. Καὶ ἐπειδὴ τὸ τόξον ΒΓ εἶναι ἴσον πρὸς τὸ τόξον ΓΔ, καὶ ἡ γωνία ΒΖΓ εἶναι ἴση πρὸς τὴν γωνίαν ΓΖΔ (III. 27). Καὶ εἶναι ἡ μὲν ΒΖΓ διπλασία τῆς ΚΖΓ, ἡ δὲ ΔΖΓ διπλασία τῆς ΛΖΓ· ἄρα καὶ ἡ ΚΖΓ εἶναι ἴση πρὸς τὴν ΛΖΓ· εἶναι δὲ καὶ ἡ γωνία ΖΓΚ ἴση πρὸς τὴν ΖΓΛ. Ὑπάρχουν λοιπὸν δύο τρίγωνα τὰ ΖΚΓ, ΖΛΓ ἔχοντα τὰς δύο γωνίας ἴσας πρὸς τὰς δύο γωνίας καὶ μίαν πλευρὰν ἴσην πρὸς μίαν πλευράν, τὴν κοινὴν πλευρὰν αὐτῶν τὴν ΖΓ· ἄρα θὰ ἔχουν καὶ τὰς ὑπολοίπους πλευρὰς πρὸς τὰς ὑπολοίπους ἴσας καὶ τὴν ὑπόλοιπον γωνίαν ἴσην πρὸς τὴν ὑπόλοιπον (I. 26)· ἄρα ἡ μὲν εὐθεῖα ΚΓ εἶναι ἴση πρὸς τὴν ΓΛ, ἡ δὲ γωνία ΖΚΓ εἶναι ἴση πρὸς τὴν ΖΛΓ. Καὶ ἐπειδὴ ἡ ΚΓ εἶναι ἴση πρὸς τὴν ΓΛ, ἕπεται, ὅτι ἡ ΚΛ εἶναι διπλασία τῆς ΚΓ. Διὰ τοὺς αὐτοὺς λόγους ἀποδεικνύεται, ὅτι καὶ ἡ ΘΚ εἶναι διπλασία τῆς ΒΚ. Καὶ εἶναι ἡ ΒΚ ἴση πρὸς τὴν ΚΓ· ἄρα καὶ ἡ ΘΚ εἶναι ἴση πρὸς τὴν ΚΛ. Καθ' ὅμοιον τρόπον

σεται καὶ ἑκάστη τῶν ΘΗ, ΗΜ, ΜΛ ἑκατέρᾳ τῶν ΘΚ, ΚΛ ἴση· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον. λέγω δή, ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΖΚΓ γωνία τῇ ὑπὸ ΖΛΓ, καὶ ἐδείχθη τῆς μὲν ὑπὸ ΖΚΓ διπλῆ ἡ ὑπὸ ΘΚΛ, τῆς δὲ ὑπὸ ΖΛΓ διπλῆ ἡ ὑπὸ ΚΛΜ, καὶ ἡ ὑπὸ ΘΚΛ ἄρα τῇ ὑπὸ ΚΛΜ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται καὶ ἑκάστη τῶν ὑπὸ ΚΘΗ, ΘΗΜ, ΗΜΛ ἑκατέρᾳ τῶν ὑπὸ ΘΚΛ, ΚΛΜ ἴση· αἱ πέντε ἄρα γωνίαι αἱ ὑπὸ ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ ἴσαι ἀλλήλαις εἰσίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΗΘΚΛΜ πεντάγωνον· ἐδείχθη δὲ καὶ ἰσόπλευρον, καὶ περιγέγραπται περὶ τὸν ΑΒΓΔΕ κύκλον.


[Περὶ τὸν δοθέντα ἄρα κύκλον πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον περιγέγραπται]· ὅπερ ἔδει ποιῆσαι.

ιγ'.

Εἰς τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον τὸ ΑΒΓΔΕ· δεῖ δὴ εἰς τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον ἐγγράψαι.

Τετμήσθω γὰρ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΔΖ εὐθειῶν· καὶ ἀπὸ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ ΓΖ, ΔΖ εὐθεῖαι, ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΑ, ΖΕ εὐθεῖαι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΓΖ, δύο δὴ αἱ ΒΓ, ΓΖ δυσὶ ταῖς ΔΓ, ΓΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΒΓΖ γωνίᾳ τῇ ὑπὸ ΔΓΖ [ἐστιν] ἴση· βάσις ἄρα ἡ ΒΖ βάσει τῇ ΔΖ ἐστιν ἴση, καὶ τὸ ΒΓΖ τρίγωνον τῷ ΔΓΖ τριγώνῳ ἐστὶν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΓΒΖ γωνία τῇ ὑπὸ ΓΔΖ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ὑπὸ ΓΔΕ τῆς ὑπὸ ΓΔΖ, ἴση δὲ ἡ μὲν ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΓΒΖ, καὶ ἡ ὑπὸ ΓΒΑ ἄρα τῆς ὑπὸ ΓΒΖ ἐστι διπλῆ· ἴση ἄρα ἡ ὑπὸ ΑΒΖ γωνία τῇ ὑπὸ ΖΒΓ· ἡ ἄρα ὑπὸ ΑΒΓ γωνία δίχα τέτμηται ὑπὸ τῆς ΒΖ εὐθείας. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκατέρα τῶν ὑπὸ ΒΑΕ, ΑΕΔ δίχα τέτμηται ὑπὸ ἑκατέρας τῶν ΖΑ, ΖΕ εὐθειῶν. ἤχθωσαν δὴ ἀπὸ τοῦ Ζ σημείου ἐπὶ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας κάθετοι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΘΓΖ γωνία τῇ ὑπὸ ΚΓΖ, ἐστὶ δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΖΘΓ [ὀρθῇ] τῇ ὑπὸ ΖΚΓ ἴση, δύο δὴ τρίγωνά ἐστι τὰ ΖΘΓ, ΖΚΓ τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν ΖΓ ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ ΖΘ κάθετος τῇ ΖΚ καθέτῳ· ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ΖΛ, ΖΜ, ΖΗ ἑκατέρᾳ τῶν ΖΘ, ΖΚ ἴση ἐστίν· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέν-



ἀποδεικνύεται, ὅτι ἑκάστη τῶν ΘΗ, ΗΜ, ΜΛ, εἶναι ἴση πρὸς ἑκάστην τῶν ΘΚ, ΚΛ· ἄρα τὸ πεντάγωνον ΗΘΚΛΜ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι εἶναι καὶ ἰσογώνιον. Διότι, ἐπειδὴ ἡ γωνία ΖΚΓ εἶναι ἴση πρὸς τὴν ΖΛΓ, καὶ ἐδείχθη, ὅτι τῆς μὲν ΖΚΓ εἶναι διπλασία ἡ ΘΚΛ, τῆς δὲ ΖΛΓ εἶναι διπλασία ἡ ΚΛΜ, ἕπεται, ὅτι καὶ ἡ ΘΚΛ εἶναι ἴση πρὸς τὴν ΚΛΜ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι ἑκάστη τῶν ΚΘΗ, ΘΗΜ, ΗΜΛ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΘΚΛ, ΚΛΜ· ἄρα αἱ πέντε γωνίαι αἱ ΗΘΚ, ΘΚΛ, ΚΛΜ, ΛΜΗ, ΜΗΘ εἶναι μεταξύ των ἴσαι. Ἄρα τὸ πεντάγωνον ΗΘΚΛΜ εἶναι ἰσογώνιον. Ἐδείχθη δέ, ὅτι εἶναι καὶ ἰσόπλευρον καὶ εἶναι περιγεγραμμένον περὶ τὸν κύκλον ΑΒΓΔΕ.

Ἄρα περὶ τὸν δοθέντα κύκλον περιεγράφη ἰσόπλευρον καὶ ἰσογώνιον πεντάγωνον· ὅπερ ἔδει ποιῆσαι.

13.

Εἰς τὸ δοθὲν πεντάγωνον, τὸ ὁποῖον εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, νὰ ἐγγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν ἰσόπλευρον καὶ ἰσογώνιον πεντάγωνον τὸ ΑΒΓΔΕ· πρέπει εἰς τὸ πεντάγωνον ΑΒΓΔΕ νὰ ἐγγραφῇ κύκλος.

Διότι, ἂς διχοτομηθῇ ἑκάστη τῶν γωνιῶν ΒΓΔ, ΓΔΕ ὑπὸ ἑκάστης τῶν εὐθειῶν ΓΖ, ΔΖ· καὶ ἀπὸ τοῦ σημείου Ζ εἰς τὸ ὁποῖον συμβάλλουν μεταξύ των αἱ εὐθεῖαι ΓΖ, ΔΖ, ἂς ἀχθοῦν αἱ εὐθεῖαι ΖΒ, ΖΑ, ΖΕ. Καὶ ἐπειδὴ ἡ ΒΓ εἶναι ἴση πρὸς τὴν ΓΔ κοινὴ δὲ ἡ ΓΖ, ὑπάρχουν δύο εὐθεῖαι αἱ ΒΓ, ΓΖ ἴσαι πρὸς δύο τὰς ΔΓ, ΓΖ· καὶ ἡ γωνία ΒΓΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΓΖ· ἄρα ἡ βάσις ΒΖ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΖ (I. 4), καὶ τὸ τρίγωνον ΒΓΖ εἶναι ἴσον πρὸς τὸ τρίγωνον ΔΓΖ (I. 4) καὶ αἱ ὑπόλοιποι γωνίαι θὰ εἶναι ἴσαι πρὸς τὰς ὑπολοίπους γωνίας, ἀπέναντι τῶν ὁποίων κεῖνται αἱ ἴσαι πλευραί· ἄρα ἡ γωνία ΓΒΖ εἶναι ἴση πρὸς τὴν γωνίαν ΓΔΖ. Καὶ ἐπειδὴ ἡ ΓΔΕ εἶναι διπλασία τῆς ΓΔΖ, εἶναι δὲ ἴση ἡ μὲν ΓΔΕ πρὸς τὴν ΑΒΓ, ἡ δὲ ΓΔΖ πρὸς τὴν ΓΒΖ, ἕπεται, ὅτι καὶ ἡ ΓΒΑ εἶναι διπλασία τῆς ΓΒΖ· ἄρα ἡ γωνία ΑΒΖ εἶναι ἴση πρὸς τὴν ΖΒΓ· ἄρα ἡ γωνία ΑΒΓ διχοτομεῖται ὑπὸ τῆς εὐθείας ΒΖ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἑκάστη τῶν ΒΑΕ, ΑΕΔ διχοτομεῖται ὑπὸ ἑκάστης τῶν εὐθειῶν ΖΑ, ΖΕ. Ἂς ἀχθοῦν τώρα ἀπὸ τοῦ σημείου Ζ ἐπὶ τὰς εὐθείας ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ κάθετοι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ. Καὶ ἐπειδὴ ἡ γωνία ΘΓΖ εἶναι ἴση πρὸς τὴν ΚΓΖ, εἶναι δὲ καὶ ἡ ὀρθὴ ΖΘΓ ἴση πρὸς τὴν ὀρθὴν ΖΚΓ, ὑπάρχουν δύο τρίγωνα τὰ ΖΘΓ, ΖΚΓ ἔχοντα τὰς δύο γωνίας ἴσας πρὸς τὰς δύο γωνίας καὶ μίαν πλευρὰν ἴσην πρὸς μίαν πλευράν, τὴν κοινὴν αὐτῶν τὴν ΖΓ, κειμένην ἀπέναντι μιᾶς τῶν ἴσων γωνιῶν· ἄρα θὰ ἔχουν καὶ τὰς ὑπολοίπους πλευρὰς ἴσας πρὸς τὰς ὑπολοίπους πλευράς· ἄρα ἡ κάθετος ΖΘ εἶναι ἴση πρὸς τὴν κάθετον ΖΚ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἑκάστη τῶν ΖΛ, ΖΜ, ΖΗ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΖΘ, ΖΚ· ἄρα αἱ πέντε εὐθεῖαι αἱ ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ εἶναι μεταξύ των ἴσαι. Ἄρα ὁ κύκλος ὁ γρα-

τρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν Η, Θ, Κ, Λ, Μ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἐφάψεται τῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθειῶν διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Η, Θ, Κ, Λ, Μ σημείοις γωνίας. εἰ γὰρ οὐκ ἐφάψεται αὐτῶν, ἀλλὰ τεμεῖ αὐτάς, συμβήσεται τὴν τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένην ἐντὸς πίπτειν τοῦ κύκλου· ὅπερ ἄτοπον ἐδείχθη. οὐκ ἄρα ὁ κέντρῳ τῷ Ζ διαστήματι δὲ ἑνὶ τῶν Η, Θ, Κ, Λ, Μ σημείων γραφόμενος κύκλος τεμεῖ τὰς ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ εὐθείας· ἐφάψεται ἄρα αὐτῶν· γεγράφθω ὡς ὁ ΗΘΚΛΜ.


Εἰς ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ιδ'.

Περὶ τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλον περιγράψαι.

Ἔστω τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· δεῖ δὴ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλον περιγράψαι.

Τετμήσθω δὴ ἑκατέρα τῶν ὑπὸ ΒΓΔ, ΓΔΕ γωνιῶν δίχα ὑπὸ ἑκατέρας τῶν ΓΖ, ΔΖ, καὶ ἀπὸ τοῦ Ζ σημείου, καθ' ὃ συμβάλλουσιν αἱ εὐθεῖαι, ἐπὶ τὰ Β, Α, Ε σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ ΖΒ, ΖΑ, ΖΕ. ὁμοίως δὴ τῷ πρὸ τούτου δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ὑπὸ ΓΒΑ, ΒΑΕ, ΑΕΔ γωνιῶν δίχα τέτμηται ὑπὸ ἑκάστης τῶν ΖΒ, ΖΑ, ΖΕ εὐθειῶν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΒΓΔ γωνία τῇ ὑπὸ ΓΔΕ, καὶ ἔστι τῆς μὲν ὑπὸ ΒΓΔ ἡμίσεια ἡ ὑπὸ ΖΓΔ, τῆς δὲ ὑπὸ ΓΔΕ ἡμίσεια ἡ ὑπὸ ΓΔΖ, καὶ ἡ ὑπὸ ΖΓΔ ἄρα τῇ ὑπὸ ΖΔΓ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ ΖΓ πλευρᾷ τῇ ΖΔ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἑκάστη τῶν ΖΒ, ΖΑ, ΖΕ ἑκατέρᾳ τῶν ΖΓ, ΖΔ ἐστιν ἴση· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ ΖΕ ἴσαι ἀλλήλαις εἰσίν. ὁ ἄρα κέντρῳ τῷ Ζ καὶ διαστήματι ἑνὶ τῶν ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἔσται περιγεγραμμένος. περιγεγράφθω καὶ ἔστω ὁ ΑΒΓΔΕ.



Περὶ ἄρα τὸ δοθὲν πεντάγωνον, ὅ ἐστιν ἰσόπλευρόν τε καὶ ἰσογώνιον, κύκλος περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

ιε'.

Εἰς τὸν δοθέντα κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕΖ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔΕΖ κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

φόμενος μὲ κέντρον τὸ Ζ ἀκτῖνα δὲ μίαν τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ ἐφάπτεται τῶν εὐθειῶν ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ, διότι αἱ πρὸς τὰ σημεῖα Η, Θ, Κ, Λ, Μ γωνίαι εἶναι ὀρθαί. Διότι, ἐὰν δὲν θὰ ἐφάπτεται αὐτῶν, ἀλλὰ θὰ τέμνῃ αὐτάς, θὰ συμβῇ, ὥστε ἡ ἀγομένη κάθετος εἰς τὸ ἄκρον τῆς διαμέτρου τοῦ κύκλου νὰ πίπτῃ ἐντὸς τοῦ κύκλου· ὅπερ ἐδείχθη ἄτοπον (III. 16)· ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Ζ ἀκτῖνα δὲ μίαν τῶν ΖΗ, ΖΘ, ΖΚ, ΖΛ, ΖΜ δὲν θὰ τέμνῃ τὰς εὐθείας ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΑ· ἄρα θὰ ἐφάπτεται αὐτῶν. Ἂς γραφῇ, ὅπως ὁ ΗΘΚΛΜ.

Εἰς τὸ δοθὲν ἄρα πεντάγωνον, τὸ ὁποῖον εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, ἔχει ἐγγραφῇ κύκλος· ὅπερ ἔδει ποιῆσαι.

14.

Περὶ τὸ δοθὲν πεντάγωνον, τὸ ὁποῖον εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, νὰ περιγραφῇ κύκλος.

Ἔστω τὸ δοθὲν πεντάγωνον, τὸ ὁποῖον εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, τὸ ΑΒΓΔΕ· πρέπει περὶ τὸ πεντάγωνον ΑΒΓΔΕ νὰ περιγραφῇ κύκλος.


Ἂς διχοτομηθῇ ἑκάστη τῶν γωνιῶν ΒΓΔ, ΓΔΕ εἰς τὸ μέσον ὑπὸ ἑκάστης τῶν ΓΖ, ΔΖ, καὶ ἀπὸ τοῦ σημείου Ζ, εἰς τὸ ὁποῖον συμβάλλουν αἱ εὐθεῖαι ἂς ἀχθοῦν πρὸς τὰ σημεῖα Β, Α, Ε αἱ εὐθεῖαι ΖΒ, ΖΑ, ΖΕ. Καθ' ὅμοιον τρόπον, ὅπως εἰς τὸ προηγούμενον (IV. 13), ἀποδεικνύεται, ὅτι καὶ ἑκάστη τῶν γωνιῶν ΓΒΑ, ΒΑΕ, ΑΕΔ διχοτομεῖται ὑπὸ ἑκάστης τῶν εὐθειῶν ΖΒ, ΖΑ, ΖΕ. Καὶ ἐπειδὴ ἡ γωνία ΒΓΔ εἶναι ἴση πρὸς τὴν ΓΔΕ, καὶ εἶναι ἡ μὲν ΖΓΔ τὸ ἥμισυ τῆς ΒΓΔ, ἡ δὲ ΓΔΖ τὸ ἥμισυ τῆς ΓΔΕ, ἕπεται, ὅτι καὶ ἡ ΖΓΔ εἶναι ἴση πρὸς τὴν ΖΔΓ· ὥστε καὶ ἡ πλευρὰ ΖΓ εἶναι ἴση πρὸς τὴν πλευρὰν ΖΔ (I. 6). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἑκάστη τῶν ΖΒ, ΖΑ, ΖΕ εἶναι ἴση πρὸς ἑκάστην τῶν ΖΓ, ΖΔ· αἱ πέντε ἄρα εὐθεῖαι αἱ ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ εἶναι μεταξύ των ἴσαι. Ἄρα ὁ κύκλος ὁ γραφόμενος μὲ κέντρον τὸ Ζ καὶ ἀκτῖνα μίαν τῶν ΖΑ, ΖΒ, ΖΓ, ΖΔ, ΖΕ θὰ διέλθῃ καὶ διὰ τῶν λοιπῶν σημείων καὶ θὰ εἶναι περιγεγραμμένος. Ἂς περιγραφῇ καὶ ἔστω ὁ ΑΒΓΔΕ.

Περὶ τὸ δοθὲν ἄρα πεντάγωνον, τὸ ὁποῖον εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον, περιεγράφη κύκλος· ὅπερ ἔδει ποιῆσαι.

15.

Εἰς τὸν δοθέντα κύκλον νὰ ἐγγραφῇ ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔΕΖ· πρέπει εἰς τὸν κύκλον ΑΒΓΔΕΖ νὰ ἐγγραφῇ ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.



Ἤχθω τοῦ ΑΒΓΔΕΖ κύκλου διάμετρος ἡ ΑΔ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Η, καὶ κέντρῳ μὲν τῷ Δ διαστήματι δὲ τῷ ΔΗ κύκλος γεγράφθω ὁ ΕΗΓΘ, καὶ ἐπιζευχθεῖσαι αἱ ΕΗ, ΓΗ διήχθωσαν ἐπὶ τὰ Β, Ζ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ· λέγω, ὅτι τὸ ΑΒΓΔΕΖ ἑξάγωνον ἰσόπλευρόν τε ἐστι καὶ ἰσογώνιον.

Ἐπεὶ γὰρ τὸ Η σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓΔΕΖ κύκλου, ἴση ἐστὶν ἡ ΗΕ τῇ ΗΔ. πάλιν, ἐπεὶ τὸ Δ σημεῖον κέντρον ἐστὶ τοῦ ΗΓΘ κύκλου, ἴση ἐστὶν ἡ ΔΕ τῇ ΔΗ. ἀλλ' ἡ ΗΕ τῇ ΗΔ ἐδείχθη ἴση· καὶ ἡ ΗΕ ἄρα τῇ ΕΔ ἴση ἐστίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΕΗΔ τρίγωνον· καὶ αἱ τρεῖς ἄρα αὐτοῦ γωνίαι αἱ ὑπὸ ΕΗΔ, ΗΔΕ, ΔΕΗ ἴσαι ἀλλήλαις εἰσίν, ἐπειδήπερ τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν. καί εἰσιν αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι. ἡ ἄρα ὑπὸ ΕΗΔ γωνία τρίτον ἐστὶ δύο ὀρθῶν. ὁμοίως δὴ δειχθήσεται καὶ ἡ ὑπὸ ΔΗΓ τρίτον δύο ὀρθῶν. καὶ ἐπεὶ ἡ ΓΗ εὐθεῖα ἐπὶ τὴν ΕΒ σταθεῖσα τὰς ἐφεξῆς γωνίας τὰς ὑπὸ ΕΗΓ, ΓΗΒ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ τρίτον ἐστὶ δύο ὀρθῶν· αἱ ἄρα ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὥστε καὶ αἱ κατὰ κορυφὴν αὐταῖς αἱ ὑπὸ ΒΗΑ, ΑΗΖ, ΖΗΕ ἴσαι εἰσὶν [ταῖς ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ]. αἱ ἓξ ἄρα γωνίαι αἱ ὑπὸ ΕΗΔ, ΔΗΓ, ΓΗΒ, ΒΗΑ, ΑΗΖ, ΖΗΕ ἴσαι ἀλλήλαις εἰσίν. αἱ δὲ ἴσαι γωνίαι ἐπὶ ἴσων περιφερειῶν βεβήκασιν· αἱ ἓξ ἄρα περιφέρειαι αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ ἴσαι ἀλλήλαις εἰσίν· ὑπὸ δὲ τὰς ἴσας περιφερείας αἱ ἴσαι εὐθεῖαι ὑποτείνουσιν· αἱ ἓξ ἄρα εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕΖ ἑξάγωνον. λέγω δή, ὅτι καὶ ἰσογώνιον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΖΑ περιφέρεια τῇ ΕΔ περιφερείᾳ, κοινὴ προσκείσθω ἡ ΑΒΓΔ περιφέρεια· ὅλη ἄρα ἡ ΖΑΒΓΔ ὅλῃ τῇ ΕΔΓΒΑ ἐστιν ἴση· καὶ βέβηκεν ἐπὶ μὲν τῆς ΖΑΒΓΔ περιφερείας ἡ ὑπὸ ΖΕΔ γωνία, ἐπὶ δὲ τῆς ΕΔΓΒΑ περιφερείας ἡ ὑπὸ ΑΖΕ γωνία. ἴση ἄρα ἡ ὑπὸ ΑΖΕ γωνία τῇ ὑπὸ ΔΕΖ. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ΑΒΓΔΕΖ ἑξαγώνου κατὰ μίαν ἴσαι εἰσὶν ἑκατέρᾳ τῶν ὑπὸ ΑΖΕ, ΖΕΔ γωνιῶν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕΖ ἑξάγωνον. ἐδείχθη δὲ καὶ ἰσόπλευρον· καὶ ἐγγέγραπται εἰς τὸν ΑΒΓΔΕΖ κύκλον.

Εἰς ἄρα τὸν δοθέντα κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἡ τοῦ ἑξαγώνου πλευρὰ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου.

Ὁμοίως δὲ τοῖς ἐπὶ τοῦ πενταγώνου ἐὰν διὰ τῶν κατὰ τὸν κύκλον διαιρέσεων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν, περιγραφήσεται περὶ τὸν κύκλον ἑξάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἀκολούθως τοῖς ἐπὶ τοῦ πενταγώνου εἰρη-

῞Ας ἀχθῇ διάμετρος τοῦ κύκλου ΑΒΓΔΕΖ ἡ ΑΔ, καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου τὸ Η, καὶ μὲ κέντρον μὲν τὸ Δ ἀκτῖνα δὲ τὴν ΔΗ ἂς γραφῇ κύκλος ὁ ΕΗΓΘ, καὶ ἀφοῦ ἀχθοῦν αἱ ΕΗ, ΓΗ, ἂς προεκταθοῦν αὗται μέχρι τῶν σημείων Β, Ζ καὶ ἂς ἀχθοῦν ΑΒ, ΒΓ, ΓΔ ΔΕ, ΕΖ, ΖΑ· λέγω, ὅτι τὸ ἑξάγωνον ΑΒΓΔΕΖ εἶναι ἰσόπλευρον καὶ ἰσογώνιον.

Διότι, ἐπειδὴ τὸ σημεῖον Η εἶναι κέντρον τοῦ κύκλου ΑΒΓΔΕΖ, εἶναι ἴση ἡ ΗΕ πρὸς τὴν ΗΔ. Πάλιν, ἐπειδὴ τὸ σημεῖον Δ εἶναι κέντρον τοῦ κύκλου ΗΓΘ, ἡ ΔΕ εἶναι ἴση πρὸς τὴν ΔΗ. Ἀλλ' ἐδείχθη, ὅτι ἡ ΗΕ εἶναι ἴση πρὸς τὴν ΗΔ· ἄρα καὶ ἡ ΗΕ εἶναι ἴση πρὸς τὴν ΕΔ· ἄρα τὸ τρίγωνον ΕΗΔ εἶναι ἰσόπλευρον· καὶ αἱ τρεῖς ἄρα γωνίαι αὐτοῦ αἱ ΕΗΔ, ΗΔΕ, ΔΕΗ εἶναι μεταξύ των ἴσαι, ἐπειδὴ βεβαίως αἱ παρὰ τὴν βάσιν γωνίαι τῶν ἰσοσκελῶν τριγώνων εἶναι μεταξύ των ἴσαι (I. 5)· καὶ εἶναι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου ἴσαι μὲ δύο ὀρθάς (I. 32)· ἄρα ἡ γωνία ΕΗΔ εἶναι τὸ ἓν τρίτον δύο ὀρθῶν. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ἡ ΔΗΓ εἶναι τὸ ἓν τρίτον δύο ὀρθῶν. Καὶ ἐπειδὴ ἡ εὐθεῖα ΓΗ σταθεῖσα ἐπὶ τὴν ΕΒ σχηματίζει τὰς ἐφεξῆς γωνίας τὰς ΕΗΓ, ΓΗΒ ἴσας μὲ δύο ὀρθάς (I. 13), ἕπεται, ὅτι ἡ ἀπομένουσα ΓΗΒ εἶναι τὸ ἓν τρίτον δύο ὀρθῶν· ἄρα αἱ γωνίαι ΕΗΔ, ΔΗΓ, ΓΗΒ εἶναι μεταξύ των ἴσαι· ὥστε καὶ αἱ κατὰ κορυφὴν πρὸς αὐτὰς αἱ ΒΗΑ, ΑΗΖ, ΖΗΕ εἶναι ἴσαι πρὸς τὰς ΕΗΔ, ΔΗΓ, ΓΗΒ (I. 15). Ἄρα αἱ ἓξ γωνίαι αἱ ΕΗΔ, ΔΗΓ, ΓΗΒ, ΒΗΑ, ΑΗΖ, ΖΗΕ, εἶναι μεταξύ των ἴσαι. Αἱ δὲ ἴσαι γωνίαι βαίνουν ἐπὶ ἴσων τόξων (III. 26). Ἄρα τὰ ἓξ τόξα τὰ ΑΒ, ΒΓ, ΓΔ, ΔΕ, ΕΖ, ΖΑ εἶναι μεταξύ των ἴσα. Ὑπὸ δὲ τὰ ἴσα τόξα βαίνουν ἴσαι εὐθεῖαι (III. 29)· αἱ ἓξ ἄρα εὐθεῖαι εἶναι μεταξύ των ἴσαι· ἄρα τὸ ἑξάγωνον ΑΒΓΔΕΖ εἶναι ἰσόπλευρον. Λέγω τώρα, ὅτι εἶναι καὶ ἰσογώνιον. Διότι, ἐπειδὴ τὸ τόξον ΖΑ εἶναι ἴσον πρὸς τὸ τόξον ΕΔ, ἂς προστεθῇ εἰς ἀμφότερα τὸ τόξον ΑΒΓΔ· ἄρα ὅλον τὸ τόξον ΖΑΒΓΔ εἶναι ἴσον πρὸς ὅλον τὸ τόξον ΕΔΓΒΑ· καὶ ἐπὶ μὲν τοῦ τόξου ΖΑΒΓΔ βαίνει ἡ γωνία ΖΕΔ, ἐπὶ δὲ τοῦ τόξου ΕΔΓΒΑ βαίνει ἡ γωνία ΑΖΕ· ἄρα ἡ γωνία ΑΖΕ εἶναι ἴση πρὸς τὴν ΔΕΖ (III. 27). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ αἱ λοιπαὶ γωνίαι τοῦ ἑξαγώνου ΑΒΓΔΕΖ ἀνὰ μία, εἶναι ἴσαι πρὸς ἑκάστην τῶν γωνιῶν ΑΖΕ, ΖΕΔ· ἄρα τὸ ἑξάγωνον ΑΒΓΔΕΖ εἶναι ἰσογώνιον· ἐδείχθη δὲ καὶ ἰσόπλευρον· καὶ ἔχει ἐγγραφῆ εἰς τὸν κύκλον ΑΒΓΔΕΖ.

Εἰς τὸν δοθέντα ἄρα κύκλον ἔχει ἐγγραφῆ ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον· ὅπερ ἔδει ποιῆσαι.

Πόρισμα.

Ἐκ τούτου εἶναι φανερόν, ὅτι ἡ πλευρὰ τοῦ ἑξαγώνου εἶναι ἴση πρὸς τὴν ἀκτῖνα τοῦ κύκλου.

Καθ' ὅμοιον δὲ τρόπον, ὅπως ἐπράξαμεν εἰς τὸ πεντάγωνον, ἐὰν διὰ τῶν (νοουμένων ἓξ) σημείων διαιρέσεως τοῦ κύκλου φέρωμεν ἐφαπτομένας, θὰ περιγραφῇ περὶ τὸν κύκλον ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον, ἀποδεικνυομέ-


μένοις. καὶ ἔτι διὰ τῶν ὁμοίων τοῖς ἐπὶ τοῦ πενταγώνου εἰρημένοις εἰς τὸ δοθὲν ἑξάγωνον κύκλον ἐγγράψομέν τε καὶ περιγράψομεν· ὅπερ ἔδει ποιῆσαι.

ις'.

Εἰς τὸν δοθέντα κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· δεῖ δὴ εἰς τὸν ΑΒΓΔ κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον ἐγγράψαι.

Ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τριγώνου μὲν ἰσοπλεύρου τοῦ εἰς αὐτὸν ἐγγραφομένου πλευρὰ ἡ ΑΓ, πενταγώνου δὲ ἰσοπλεύρου ἡ ΑΒ· οἵων ἄρα ἐστὶν ὁ ΑΒΓΔ κύκλος ἴσων τμημάτων δεκαπέντε, τοιούτων ἡ μὲν ΑΒΓ περιφέρεια τρίτον οὖσα τοῦ κύκλου ἔσται πέντε, ἡ δὲ ΑΒ περιφέρεια πέμπτον οὖσα τοῦ κύκλου ἔσται τριῶν· λοιπὴ ἄρα ἡ ΒΓ τῶν ἴσων δύο. τετμήσθω ἡ ΒΓ δίχα κατὰ τὸ Ε· ἑκατέρα ἄρα τῶν ΒΕ, ΕΓ περιφερειῶν πεντεκαιδέκατόν ἐστι τοῦ ΑΒΓΔ κύκλου.



Ἐὰν ἄρα ἐπιζεύξαντες τὰς ΒΕ, ΕΓ ἴσας αὐταῖς κατὰ τὸ συνεχὲς εὐθείας ἐναρμόσωμεν εἰς τὸν ΑΒΓΔ[Ε] κύκλον, ἔσται εἰς αὐτὸν ἐγγεγραμμένον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον· ὅπερ ἔδει ποιῆσαι.

Ὁμοίως δὲ τοῖς ἐπὶ τοῦ πενταγώνου ἐὰν διὰ τῶν κατὰ τὸν κύκλον διαιρέσεων ἐφαπτομένας τοῦ κύκλου ἀγάγωμεν, περιγραφήσεται περὶ τὸν κύκλον πεντεκαιδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον. ἔτι δὲ διὰ τῶν ὁμοίων τοῖς ἐπὶ τοῦ πενταγώνου δείξεων καὶ εἰς τὸ δοθὲν πεντεκαιδεκάγωνον κύκλον ἐγγράψομέν τε καὶ περιγράψομεν· ὅπερ ἔδει ποιῆσαι.

νου τούτου, ὅπως καὶ εἰς τὸ πεντάγωνο (IV. 12). Καὶ ἀκόμη, καθ' ὅμοιον τρόπον, ὡς ἀπεδείχθη καὶ διὰ τὸ πεντάγωνον, δυνάμεθα νὰ περιγράψωμεν κύκλον εἰς τὸ δοθὲν ἑξάγωνον· ὅπερ ἔδει ποιῆσαι.

16.

Εἰς τὸν δοθέντα κύκλον νὰ ἐγγράψωμεν δεκαπεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓΔ· πρέπει εἰς τὸν δοθέντα κύκλον νὰ ἐγγράψωμεν δεκαπεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον.

Ἂς ἐγγραφῇ εἰς τὸν κύκλον ΑΒΓΔ ἡ πλευρὰ ἐγγραφομένου εἰς αὐτὸν τριγώνου μὲν ἰσοπλεύρου ἡ ΑΓ (IV. 2), πενταγώνου δὲ ἰσοπλεύρου ἡ ΑΒ (IV. 11)· ἄρα ἐκ τῶν δεκαπέντε ἴσων τμημάτων ἐκ τῶν ὁποίων θ' ἀποτελῆται ὁ κύκλος ΑΒΓΔ, πέντε μὲν ἀντιστοιχοῦν εἰς τὸ τόξον ΑΒΓ, τὸ ὁποῖον εἶναι τὸ τρίτον τοῦ κύκλου, τρία δὲ ἀντιστοιχοῦν εἰς τὸ τόξον ΑΒ, τὸ ὁποῖον εἶναι τὸ πέμπτον τοῦ κύκλου· εἰς τὸ λοιπὸν ἄρα τόξον ΒΓ ἀντιστοιχοῦν ἐκ τῶν ἴσων τμημάτων δύο. Ἂς τμηθῇ εἰς τὸ μέσον τὸ τόξον ΒΓ κατὰ τὸ σημεῖον Ε (III. 30)· ἄρα ἕκαστον τῶν τόξων ΒΕ, ΕΓ εἶναι τὸ ἓν δέκατον πέμπτον τοῦ κύκλου ΑΒΓΔ.

Ἐὰν ἄρα, ἀφοῦ φέρωμεν τὰς ΒΕ, ΕΓ, ἐναρμόσωμεν εἰς τὸν κύκλον ΑΒΓΔ συνεχῶς ἴσας εὐθείας πρὸς ταύτας (IV. 1), θὰ ὑπάρχῃ εἰς αὐτὸν ἐγγεγραμμένον δεκαπεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον· ὅπερ ἔδει ποιῆσαι.

Καθ' ὅμοιον δὲ τρόπον, ὅπως καὶ εἰς τὸ πεντάγωνον, ἐὰν ἐκ τῶν σημείων διαιρέσεως τοῦ κύκλου (τῶν 15) φέρωμεν τὰς ἐφαπτομένας τοῦ κύκλου, θὰ περιγραφῇ περὶ τὸν κύκλον δεκαπεντάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον (IV. 12). Προσέτι δὲ διὰ τῶν ὁμοίων ἀποδείξεων, ὅπως ἐπὶ τοῦ πενταγώνου, δυνάμεθα νὰ ἐγγράψωμεν καὶ νὰ περιγράψωμεν κύκλον εἰς τὸ δοθὲν δεκαπεντάγωνον· ὅπερ ἔδει ποιῆσαι.

ΑΛΛΑΙ ΑΠΟΔΕΙΞΕΙΣ

1. Εἰς τὸ δεύτερον βιβλίον, θεώρημα 4.

Λέγω, ὅτι τὸ τετράγωνον τῆς ΑΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ.

Διότι, λαμβάνοντες τὸ αὐτὸ σχῆμα, ἐπειδὴ ἡ ΒΑ εἶναι ἴση πρὸς τὴν ΑΔ, καὶ ἡ γωνία ΑΒΔ εἶναι ἴση πρὸς τὴν ΑΔΒ (Ι. 5)· καὶ ἐπειδὴ παντὸς τριγώνου αἱ τρεῖς γωνίαι ἰσοῦνται μὲ δύο ὀρθάς, ἕπεται, ὅτι αἱ τρεῖς γωνίαι τοῦ τριγώνου ΑΔΒ αἱ ΑΔΒ, ΒΑΔ, ΔΒΑ ἰσοῦνται μὲ δύο ὀρθάς (Ι. 32). Εἶναι δὲ ὀρθὴ ἡ ΒΑΔ· ἄρα αἱ λοιπαὶ αἱ ΑΒΔ, ΑΔΒ ἰσοῦνται μὲ μίαν ὀρθήν· καὶ εἶναι ἴσαι· ἄρα ἑκάστη τῶν ΑΒΔ, ΑΔΒ εἶναι τὸ ἥμισυ ὀρθῆς. Εἶναι δὲ ὀρθὴ ἡ ΒΓΗ· διότι εἶναι ἴση πρὸς τὴν ἀπέναντι αὐτῆς τὴν ἔχουσαν κορυφὴν τὸ Α (Ι. 3)· ἄρα ἡ λοιπή, ἡ ΓΗΒ εἶναι τὸ ἥμισυ ὀρθῆς (Ι. 32)· ἄρα ἡ γωνία ΓΒΗ εἶναι ἴση πρὸς τὴν ΓΗΒ· ὥστε καὶ ἡ πλευρὰ ΒΓ εἶναι ἴση πρὸς τὴν ΓΗ (Ι. 6). Ἀλλ' ἡ μὲν ΓΒ εἶναι ἴση πρὸς τὴν ΗΚ (Ι. 34), ἡ δὲ ΓΗ πρὸς τὴν ΒΚ· ἄρα τὸ σχῆμα ΓΚ εἶναι ἰσόπλευρον. Ἔχει δὲ καὶ τὴν γωνίαν ΓΒΚ ὀρθήν· ἄρα τὸ σχῆμα ΓΚ εἶναι τετράγωνον· καὶ ἔχει πλευρὰν τὴν ΓΒ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ τὸ ΖΘ εἶναι τετράγωνον καὶ εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς ΑΓ· ἄρα τὰ ΓΚ, ΘΖ εἶναι τετράγωνα, καὶ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ. Καὶ ἐπειδὴ τὸ ὀρθογώνιον ΑΗ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον ΗΕ (Ι. 43) καὶ εἶναι τὸ ὀρθογώνιον ΑΗ τὸ σχηματιζόμενον ὑπὸ τῶν εὐθειῶν ΑΓ, ΓΒ· διότι ἡ ΓΗ εἶναι ἴση πρὸς τὴν ΓΒ· ἄρα τὸ ὀρθογώνιον ΕΗ εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον τὸ σχηματιζόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ. Ἄρα τὰ ὀρθογώνια ΑΗ, ΗΕ εἶναι ἴσα πρὸς τὸ διπλάσιον ὀρθογώνιον τὸ σχηματιζόμενον ὑπὸ τῶν ΑΓ, ΓΒ. Εἶναι δὲ καὶ τὰ τετράγωνα ΓΚ, ΘΖ ἴσα πρὸς τὰ τετράγωνα τῶν εὐθειῶν ΑΓ, ΓΒ. Ἄρα τὰ σχήματα ΓΚ, ΘΖ, ΑΗ, ΗΕ εἶναι ἴσα πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τῶν ΑΓ, ΓΒ. Ἀλλὰ τὰ σχήματα ΓΚ, ΘΖ καὶ ΑΗ, ΗΕ ἀποτελοῦν ὁλόκληρον τὸ τετράγωνον ΑΕ, τὸ ὁποῖον εἶναι τὸ τετράγωνον τῆς ΑΒ· ἄρα τὸ τετράγωνον τῆς ΑΒ εἶναι ἴσον πρὸς τὰ τετράγωνα τῶν ΑΓ, ΓΒ καὶ τὸ διπλάσιον ὀρθογώνιον τὸ περιεχόμενον ὑπὸ τῶν εὐθειῶν ΑΓ, ΓΒ· ὅπερ ἔδει δεῖξαι.

2. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 7.


Ἢ καὶ ὡς ἑξῆς· ἂς ἀχθῇ ἡ ΕΚ. Καὶ ἐπειδὴ ἡ ΗΕ εἶναι ἴση πρὸς τὴν ΕΚ, ἡ δὲ ΖΕ εἶναι κοινή, καὶ ἡ βάσις ΖΗ εἶναι ἴση πρὸς τὴν βάσιν ΖΚ, ἕπεται, ὅτι καὶ ἡ γωνία ΗΕΖ εἶναι ἴση πρὸς τὴν ΚΕΖ (Ι. 8). Ἀλλὰ ἡ γωνία ΗΕΖ εἶναι

ἴση πρὸς τὴν ΘΕΖ· ἄρα καὶ ἡ ΘΕΖ εἶναι ἴση πρὸς τὴν ΚΕΖ, ἡ μικροτέρα ἴση πρὸς τὴν μεγαλυτέραν· ὅπερ εἶναι ἀδύνατον.

3. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 8.

Ἢ καὶ ἄλλως. Ἂς ἀχθῇ ἡ ΜΝ. Ἐπειδὴ ἡ ΚΜ εἶναι ἴση πρὸς τὴν ΜΝ, ἡ δὲ ΜΔ εἶναι κοινή, καὶ ἡ βάσις ΔΚ εἶναι ἴση πρὸς τὴν βάσιν ΔΝ, ἕπεται, ὅτι ἡ γωνία ΚΜΔ εἶναι ἴση πρὸς τὴν γωνίαν ΔΜΝ (Ι. 8). Ἀλλὰ ἡ ΚΜΔ εἶναι ἴση πρὸς τὴν ΒΜΔ· ἄρα καὶ ἡ ΒΜΔ εἶναι ἴση πρὸς τὴν ΝΜΔ, ἡ μικροτέρα ἴση πρὸς τὴν μεγαλυτέραν· ὅπερ εἶναι ἀδύνατον.


4. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 9.



Διότι, ἂς ληφθῇ ἐντὸς τοῦ κύκλου ΑΒΓ, σημεῖόν τι ἐντὸς τὸ Δ, ἂς προσπέσουν δὲ ἀπὸ τοῦ Δ πρὸς τὸν κύκλον ΑΒΓ εὐθεῖαι ἴσαι περισσότεραι τῶν δύο αἱ ΑΔ, ΔΒ, ΔΓ· λέγω, ὅτι τὸ ληφθὲν σημεῖον Δ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ.

Διότι, ἐὰν δὲν εἶναι, ἔστω ὅτι εἶναι δυνατὸν νὰ εἶναι τὸ Ε, καὶ ἀφοῦ ἀχθῇ ἡ ΔΕ, ἂς προεκταθῇ μέχρι τῶν σημείων Ζ, Η. Ἄρα ἡ ΖΗ εἶναι διάμετρος τοῦ κύκλου ΑΒΓ. Ἐπειδὴ λοιπὸν ἐπὶ τῆς διαμέτρου ΖΗ τοῦ κύκλου ΑΒΓ ἔχει ληφθῇ σημεῖόν τι, τὸ ὁποῖον δὲν εἶναι κέντρον τοῦ κύκλου, τὸ Δ, ἡ μὲν ΔΗ θὰ εἶναι μεγίστη, μεγαλυτέρα δὲ ἡ μὲν ΔΓ τῆς ΔΒ, ἡ δὲ ΔΒ τῆς ΔΑ (ΙΙΙ. 7). Ἀλλὰ συγχρόνως εἶναι καὶ ἴση· ὅπερ ἀδύνατον· ἄρα τὸ Ε δὲν εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ. Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι οὐδ' ἄλλο τι εἶναι πλὴν τοῦ Δ· ἄρα τὸ σημεῖον Δ εἶναι κέντρον τοῦ κύκλου ΑΒΓ· ὅπερ ἔδει δεῖξαι.


5. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 10.



Διότι, ἂς τέμνῃ πάλιν ὁ κύκλος ΑΒΓ τὸν κύκλον ΔΕΖ εἰς περισσότερα ἢ δύο σημεῖα, τὰ Β, Η, Θ, Ζ, καὶ ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΑΒΓ, τὸ Κ, καὶ ἂς ἀχθοῦν αἱ ΚΒ, ΚΗ, ΚΖ. Ἐπειδὴ λοιπὸν ἔχει ληφθῇ ἐντὸς τοῦ κύκλου ΔΕΖ σημεῖόν τι τὸ Κ, καὶ ἀπὸ τοῦ σημείου Κ ἔχουν προσπέσει πρὸς τὸν κύκλον ΔΕΖ περισσότεραι ἢ δύο ἴσαι εὐθεῖαι αἱ ΚΒ, ΚΖ, ΚΗ, ἕπεται ὅτι τὸ σημεῖον Κ εἶναι κέντρον τοῦ κύκλου ΔΕΖ (ΙΙΙ. 9). Εἶναι δὲ τὸ Κ κέντρον καὶ τοῦ κύκλου ΑΒΓ· ἄρα δύο κύκλων, οἱ ὁποῖοι τέμνονται μεταξύ των, ὑπάρχει τὸ αὐτὸ κέντρον τὸ Κ· ὅπερ ἀδύνατον (ΙΙΙ. 5). Ἄρα, κύκλος δὲν τέμνει κύκλον εἰς περισσότερα σημεῖα ἢ δύο· ὅπερ ἔδει δεῖξαι.

6. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 11.

Ἀλλ' ἂς πέσῃ ὅπως ἡ ΗΖΓ, καὶ ἂς ἐκβληθῇ ἐπ' εὐθείας ἡ ΓΖΗ ἐπὶ τὸ σημεῖον Θ, καὶ ἂς ἀχθοῦν αἱ ΑΗ, ΑΖ.



Ἐπειδὴ λοιπὸν αἱ ΑΗ, ΗΖ εἶναι μεγαλύτεραι τῆς ΑΖ, ἀλλὰ ἡ ΖΑ εἶναι ἴση πρὸς τὴν ΖΓ, τουτέστι πρὸς τὴν ΖΘ, ἂς ἀφαιρεθῇ ἀπὸ τὰς δύο ἡ κοινὴ εὐθεῖα ἡ ΖΗ· ἄρα ἡ ὑπόλοιπος ΑΗ εἶναι μεγαλυτέρα τῆς ὑπολοίπου ΗΘ, τουτέστιν ἡ ΗΔ τῆς ΗΘ, ἡ μικροτέρα ἀπὸ τὴν μεγαλυτέραν· ὅπερ ἀδύνατον. Ὁμοίως ἀποδεικνύεται τὸ ἄτοπον, καὶ ἂν τὸ κέντρον τοῦ μεγαλυτέρου κύκλου εἶναι ἐκτὸς τοῦ μικροῦ κύκλου.

7. Εἰς τὸ τρίτον βιβλίον, θεώρημα 31.

Ἡ ἀπόδειξις, ὅτι ἡ γωνία ΒΑΓ εἶναι ὀρθή.

Ἐπειδὴ ἡ γωνία ΑΕΓ εἶναι διπλασία τῆς γωνίας ΒΑΕ· διότι εἶναι ἴση πρὸς τὰς δύο ἐντὸς καὶ ἀπέναντι· εἶναι δὲ καὶ ἡ γωνία ΑΕΒ διπλασία τῆς γωνίας ΕΑΓ· ἄρα αἱ γωνίαι ΑΕΒ, ΑΕΓ εἶναι διπλάσιαι τῆς γωνίας ΒΑΓ. Ἀλλ' αἱ γωνίαι ΑΕΒ, ΑΕΓ ἰσοῦνται μὲ δύο ὀρθάς· ἄρα ἡ γωνία ΒΑΓ εἶναι ὀρθή· ὅπερ ἔδει δεῖξαι.

ΠΕΡΙΕΧΟΜΕΝΑ



Τά ἀντίτυπα τοῦ βιβλίου φέρουσι τό κάτωθι βιβλιόσημον εἰς ἀπόδειξιν [illegible] στερούμενον τοῦ [illegible] τούτου θεωρεῖται κλεψίτυπον. [illegible] κατά τάς διατάξεις τοῦ [illegible] Μαρτίου 1946 (Ἐφ. Κυβ. 1946, Α 108).

ΕΚΔΟΣΙΣ Α', 1975 (XI) ΑΝΤΙΤΥΠΑ 10.000 ΣΥΜΒΑΣΙΣ 2457 26/4/74
ΕΚΤΥΠΩΣΙΣ-ΒΙΒΛΙΟΔΕΣΙΑ: ΕΠΤΑΛΟΦΟΣ Ε.Π.Ε. - Ζαλοκώστα 5 - Τηλ. 631675